# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ...

# 6

## 1909

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ — ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ. Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ Ϛ΄ — 30 Ἰουνίου 1909. — ΤΕΥΧΟΣ Β΄.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Η ΠΑΡΙΣΙΑΚΗ ΑΝΘΟΛΟΓΙΑ
## ΤΟΥ ΚΩΔΙΚΟΣ SUPPL GREC 134.

Ἐν τῷ τρίτῳ τόμῳ τοῦ Νέου Ἑλληνομνήμονος σ. 267 ἔγεινε λόγος περὶ τοῦ ὑπ᾽ ἀρ. 134 κώδικος τοῦ Supplement Grec τῆς Ἐθνικῆς βιβλιοθήκης Παρισίων, ἐξ οὗ ἐξέδωκα ἐν παραβολῇ πρὸς τὸν ἐν Ἁγίῳ Ὄρει Διονυσιακὸν κώδικα 90 τὰ ἐν τοῖς δύο τούτοις κώδιξι περιλαμβανόμεν᾽ ἀπανθίσματα τοῦ Διογένους Λαερτίου. Περιλαμβάνει δὲ ὁ Παρισιακὸς οὗτος κῶδιξ πλὴν τῶν ἀποσπασμάτων ἐκείνων ἐν φ. 233β-271α ἐν συνεχείᾳ τῶν τοῦ Λαερτίου καὶ ἀνεπίγραφον ἀνθολογίαν ἀποσπασμάτων ἄλλων συγγραφέων, ὧν τινα ἐξέδωκα ἐν τῷ Νέῳ Ἑλληνομνήμονι Τόμ. Δ΄ σ. 1 κ. ἑ. ὡς ἀνήκοντα εἰς Τίμαιον τὸν Ταυρομενίτην, τὸν Θησέα καὶ ἄλλους ἀρχαίους συγγραφεῖς. Ἐνταῦθα δ᾽ ἐκδίδω τὸ κείμενον ὅλης τῆς ἀξιολόγου ταύτης ἀνθολογίας, ἐπιφυλασσόμενος νὰ ὑπομνηματίσω ἐν τῷ προσεχεῖ τεύχει τὰ κατ᾽ αὐτήν. Περιττὸν δὲ νὰ προσθέσω, ὅτι οἱ ἀραβικοὶ ἀριθμοὶ ἐν ταῖς παραγράφοις προσετέθησαν ὑπ᾽ ἐμοῦ, ἐν δὲ τῷ κώδικι τἀπανθίσματα δὲν χωρίζονται δι᾽ ἀριθμῶν.

**1.** Πιττακός, παρακαλούμενος υἱεῖ καὶ πατρὶ διαιτῆσαι, εἶπε πρὸς τὸν υἱόν· Εἰ μὲν δικαιότερα λέγεις τοῦ πατρός, ἄξιος εἶ καταδίκης, εἰ δὲ ἄδικα, καὶ τιμωρίας.

**2.** Φίλιππος Μεθώνην πολεμῶν τὴν ἐπὶ Θρᾴκῃ, ἐπηρώθη τὸν δεξιὸν ὀφθαλμόν, βέλει βληθεὶς ὑπό τινος τῶν Μεθωναίων, Ἀστέρος ὀνομαζομένου, ἐπιγράψαντός τι τῷ βέλει τοιοῦτον· Ἀστὴρ Φιλίππῳ

Επ. Διευθυντής Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

θανάσιμον πέμπει βέλος. Ὁ δὲ Φίλιππος ἀντέγραψε τῷ βέλει· Ἀστέρα Φίλιππος ἣν λάβῃ, κρεμήσεται.

**3**. Ἀλέξανδρος παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, Οὐ βασιλικόν, ἔφη, τὸ κλέπτειν τὴν νίκην. Παίξας δὲ μετά τινος νεανίσκου, ἐδωρήσατο αὐτῷ τάλαντον· τῶν δὲ φίλων λεγόντων, ὅτι πλέον τοῦ δέοντος ἔδωκεν, Οὐχ ὅσον ἐκεῖνος ἄξιός ἐστι λαβεῖν δεῖ σκοπεῖν, ἀλλ' ὅσον ἐγὼ δοῦναι.

φ. 234α **4**. Διονύσιος ὁ τύραννος κιθαρῳδοῦ εὐδο‖κιμοῦντος μισθὸν ἐπηγγείλατο· ὡς δὲ ἀπήτει, εἶπεν· Ὡς σὺ ἐμέ, οὕτω κἀγὼ φωνῇ σὲ εὔφρανα.

**5**. Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ ὑπὸ Ἀπελλοῦ γραφεῖσαν ἐφ' ἵππου εἰκόνα αὐτοῦ, οὐκ ἐπῄνεσε· τοῦ δ' ἵππου χρεμετίσαντος πρὸς τὸν ἐν τῇ εἰκόνι γεγραμμένον ἵππον ὡς ἀληθινόν, ὁ Ἀπελλῆς Ἀλλ' ὁ ἵππος, βασιλεῦ, φησιν, ἔοικεν εἶναι σοῦ γραφικώτερος.

**6**. Μάρδος τις Ῥακώκης ὄνομα, ἔχων υἱὸν ἐξώλη, ἤγαγεν αὐτὸν παρ' Ἀρταξέρξην τὸν βασιλέα, ἀξιῶν αὐτὸν ἀποθανεῖν. Τοῦ δὲ εἰπόντος Καὶ ἄρα τολμήσεις τοῖς ἑαυτοῦ ὀφθαλμοῖς τὸν υἱὸν ἰδεῖν ἀποθνήσκοντα; ὑπολαβὼν ὁ Μάρδος Καὶ ἐν τῷ κήπῳ, ἔφη, ὅταν τῶν φυομένων θριδακινῶν τὰς πικρὰς ἐκφύσεις ἀφαιρῶ, οὐδὲν ἡ μήτηρ θριδακίνη λυπεῖται, ἀλλὰ θάλλει μᾶλλον· εἰ γοῦν καὶ ἐγὼ τὰ βλάπτοντα τὴν ἐμὴν οἰκίαν ἴδω ἀφανισθέντα, μᾶλλον αὐξηθήσομαι. Καὶ ἀγασθεὶς αὐτὸν ὁ βασιλεύς, ἐποίησεν ἕνα τῶν βασιλικῶν δικαστῶν,
φ. 234β τῷ δὲ υἱῷ αὐτοῦ ‖ ἠπείλησε μηκέτι τοιαῦτα τολμᾶν.

**7**. Σωκράτης, ἰδὼν ἐν τῇ τῶν τριάκοντα ἀρχῇ τοὺς πλουσίους ἐπιβουλευομένους καὶ ἀναιρουμένους, Ἀντισθένει φησί· Μή τί σοι μεταμέλει, ὅτι μέγα καὶ σεμνὸν οὐδὲν ἐγενόμεθα ἐν τῷ βίῳ καὶ τοιοῦτοι οἵους ἐν ταῖς τραγῳδίαις ὁρῶμεν Ἀτρέας καὶ Θυέστας; Οὗτοι γὰρ ἀποσφαττόμενοι ἑκάστοτε ἐκτραγῳδοῦνται. Οὐδεὶς δ' οὕτως ἐγένετο τολμηρὸς ποιητὴς ὡς εἰσαγαγεῖν εἰς δρᾶμα χοῖρον σφαττόμενον.

**8**. Ὁ αὐτὸς τοῦ ῥήτορος Λυσίου γράψαντος αὐτῷ ἀπολογίαν, ἀναγνοὺς ἔφη· Καλὸς ὁ λόγος, ὦ Λυσία, οὐ μὴν ἁρμόττων ἐμοί· ἦν γὰρ δῆλα δὴ δικανικός, οὐ φιλόσοφος. Τοῦ δ' εἰπόντος· Πῶς, εἰ καλὸς ὁ λόγος, οὐκ ἂν σοι ἁρμόττοι; ἔφη· Καὶ ἱμάτια καλὰ καὶ ὑποδήματα εἴη ἂν ἐμοὶ ἀνάρμοστα.

**9**. Κλαζομενίων τινὲς εἰς τὴν Σπάρτην ἀφικόμενοι, τοὺς τῶν ἐφό-

9. σέ 13. σου 14. τίς ῥακόκης 24. τι 31. δηλαδὴ 32. ἁρμόττη

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΓΥ. ΑΠΟ ΤΗΣ Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

ρων θρόνους, ἔνθα εἰώθεσαν χρηματίζειν καθήμενοι, ἀσβόλῳ κατέχρισαν. Οἱ δέ, μαθόντες, οὐκ ἠγανάκτησαν, ἀλλ' ἐκήρυξαν δημοσίᾳ Ἐξέστω Κλαζομενίοις ἀσχημονεῖν.

**10.** ‖ Ὅτε Θεμιστοκλῆς ἐπὶ τοὺς βαρβάρους ἐξῆγε τὴν πολιτικὴν δύναμιν εἶδε μαχομένους ἀλεκτρυόνας, καὶ ἔφη πρὸς τὴν στρατιάν· Οὗτοι οὔτε ὑπὲρ πατρῴων κακοπαθοῦσι θεῶν, ἀλλ' ὑπὲρ τοῦ μὴ ἡττηθῆναι ἑκάτερος, καὶ ἐπέρρωσε τοὺς Ἀθηναίους. Διὸ μετὰ τὴν κατὰ Περσῶν νίκην νόμον ἔθεντο ἀλεκτρυόνας ἀγωνίζεσθαι ἐν τῷ θεάτρῳ μιᾷ ἡμέρᾳ τοῦ ἔτους. φ. 235a

**11.** Ἐπίχαρμος γηράσας ἐν λέσχῃ μετά τινων ἡλικιωτῶν ἐκάθητο· καὶ ἐπεὶ ἕκαστος ἔλεγε τῶν παρόντων Ἐμοὶ ἔτη πέντε ἀπόχρη βιῶναι, ὁ δὲ Ἐμοὶ τρία, ὑπολαβὼν ἐκεῖνος Τί, ἔφη, στασιάζετε; πάντες γὰρ οἱ συνελθόντες κατά τινα δαίμονα ἐπὶ δυσμαῖς ἐσμεν, ὥστε ὥρα ἀνάγεσθαι πρὶν ἡμᾶς καί τινος ἀπολαῦσαι κακοῦ πρεσβυτιδίου.

**12.** Γοργίας ὁ Λεοντῖνος, γηράσας καὶ ὑπὸ νόσου καταληφθείς, εἰς ὕπνον κατολισθαίνων ἔκειτο. Καί, ἐπεί τις τῶν ἐπιτηδείων ἤρετο αὐτὸν πῶς ἔχει, Ἤδη μέ φησιν ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.

**13.** ‖ Φυλάττεσθαι τὸ Ἅρμα χρησμὸς ἦν Φιλίππῳ. Διὸ οὐδέποτε ἀνέβη εἰς ἅρμα· τὸ δὲ ἐδήλου πόλιν βοιωτικήν. Οἱ δέ φασιν ὡς τὸ τοῦ Παυσανίου ξίφος, ᾧ διεχρήσατο τοῦτον, ἐπὶ τῆς γλυφῆς εἶχε γεγραμμένον ἐλεφάντινον ἅρμα. φ. 235c

**14.** Διογένης ἔλεγεν, ὡς τὰς τῆς τραγῳδίας ἀρὰς αὐτὸς ἐκπληροῖ· εἶναι γὰρ πλάνης, ἄοικος, πτωχός, δυσείμων, βίον ἔχων τὸν ἐφήμερον. Καὶ ὅμως μέγα ἐφρόνει οὐδὲν ἧττον ἢ Ἀλέξανδρος ἐπὶ τῇ τῆς οἰκουμένης ἀρχῇ.

**15.** Ἀλέξανδρος ὁ Μακεδὼν παῖς ὢν ἐμάνθανε κιθαρίζειν· τοῦ δὲ διδασκάλου κελεύσαντος κροῦσαι χορδὴν ἣν ἀπῄτει τὰ κιθαρίσματα, εἶπε Καὶ τί διοίσει ἐὰν ταύτην κρούσω; δείξας ἑτέραν. Ὁ δὲ οὐδὲν ἔφη διαφέρειν τῷ μέλλοντι βασιλεύσειν. Τοῦτο δὲ εἶπε δείσας μή ποτε τὸ τοῦ Λίνου πάθῃ. Τὸν γὰρ Ἡρακλέα ὁ Λίνος ἐδίδασκεν· ἀμουσότερον δὲ ἁπτομένου τῆς κιθάρας, ἐχαλέπηνεν ὁ Λίνος· ὁ δὲ Ἡρακλῆς ἠγανάκτει, καὶ πλήξας ‖ τῷ πλήκτρῳ τὸν Λίνον ἀπέκτεινε. φ. 236a

3. ἔξω 13. ἐσμὲν 20. δὲ φασὶν 31 (καὶ 32). λῖνος 32. ἐχαλεπηνεν 33. λῖνον

ΙΩΑΝΝΙΝΑ 2006

**16.** Πλάτων τὸν Ἀριστοτέλην ἔλεγε πῶλον· καὶ αὐτὸς γὰρ ὑπ' ἐκείνου σοφίας πλησθεὶς ἀχάριστος ἦν, ὡς ὁ πῶλος γάλακτος πλησθεὶς λακτίζει τὴν μητέρα.

**17.** Τῇ Ξανθίππῃ ὁ Σωκράτης, ἐπειδὴ οὐκ ἠβούλετο τὸ ἐκείνου ἱμάτιον ἐνδῦσα ἐπὶ τὴν θέαν βαδίζειν, Ὁρᾷς; ἔφη· οὐ θεωρήσουσα, θεωρησομένη δὲ μᾶλλον βαδίζεις.

**18.** Γέρων Κεῖος ἀφίκετο εἰς Λακεδαίμονα· αἰδούμενος δ' ἐπὶ τῷ γήρᾳ, ἔβαπτε τὰς τρίχας, καί, παρελθὼν εἰς τὴν ἐκκλησίαν, ἐδημηγόρει. Ἀρχίδαμος οὖν ὁ βασιλεὺς ἀναστὰς Τί δ' ἄν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει; καὶ ἐξέωσεν αὐτόν.

**19.** Θεοφράστου ἐκπεσόντος ἐν τῷ λέγειν ἐπὶ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς καὶ εἰπόντος ὡς τὸ ἀξίωμα δείσειε τοῦ συνεδρίου, ὁ Δημοχάρης εἶπεν· Ἀθηναῖοι ἦσαν, ὦ Θεόφραστε, οὐχ οἱ δώδεκα θεοὶ οἱ δικάζοντες.

**20** Παρράσιος ὁ ζωγράφος, ἀγωνισάμενος τὸν Αἴαντα τὸν ὑπὲρ φ. 236ε τῶν ὅπλων Ἀχιλλέως ἐρίζοντα Ὀδυσσεῖ καὶ ἡττηθείς, ἀστείως || ἀπεκρίθη αὐτὸς μὲν ὑπὲρ τῆς ἑαυτοῦ ἥττης ὀλίγα φροντίζειν, συνάχθεσθαι δὲ τῷ Αἴαντι δὶς διὰ τῶν αὐτῶν ἡττηθέντι.

**21.** Ἐπῄνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου τὸ Οὐδ' ἂν βοῦς ἀπόλοιτο, εἰ μὴ γείτων κακὸς εἴη. Ἀκούων δὲ ὁ Διογένης, Καὶ μήν, εἶπε, Μεσσήνιοι καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ἡμεῖς αὐτῶν ἐστε γείτονες.

**22.** Ἠρίστα Διογένης ἐν καπηλείῳ καὶ ἑωρακὼς Δημοσθένην παριόντα ἐκάλει· τοῦ δὲ μὴ πειθομένου, Τί αἰσχύνῃ; φησί· καὶ μὴν ὁ κύριός σου καθ' ἑκάστην ὧδε εἴσεισιν. Ὠνείδιζε δ' αὐτὸν ὅτι οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσίν.

**23.** Μειράκιον ἐρετρικὸν φοιτῆσαν Ζήνωνι καὶ ἐπανελθὸν ὁ πατὴρ ἐπύθετο τί μάθοι σοφόν. Τὸ δὲ ἔφη δείξειν. Χαλεπήναντος δὲ τοῦ πατρὸς καὶ πληγὰς ἐντείναντος ἐγκαρτερῆσαν, Τοῦτο, ἔφη, μεμάθηκα, ὀργὴν φέρειν πατρός.

**24.** Σωκράτης ἰδὼν Ἀντισθένην τὸ διερρωγὸς τοῦ ἱματίου μέρος ἀεὶ ποιοῦντα φανερόν, Οὐ παύσῃ [ἔφη] ἐγκαλλωπιζόμενος ἡμῖν;

12. ἐκπεσόντος κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ἐμπεσόντος
14. οἰχ 22. ἐστὲ 26. καθεκάστην ὀνείδιζε 33. ἔφη λείπει

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

**25.** Ἀνάξαρχος Ἀλεξάνδρου κατεγέλα· καί ποτε ‖ νοσήσαντος φ. 237a
καὶ τοῦ ἰατροῦ προςτάξαντος ῥόφημά τι αὐτῷ σκευασθῆναι, γελάσας ὁ Ἀνάξαρχος, Τοῦ μέντοι θεοῦ ἡμῶν, εἶπεν, αἱ ἐλπίδες ἐν τρυβλίου ῥοφήματι κεῖνται.

**26.** Μενεκράτους τοῦ ἰατροῦ ἀλαζονευομένου καὶ Δία αὐτὸν ἀποκαλοῦντος, καλέσας αὐτὸν Φίλιππος ὁ Μακεδὼν ἐπὶ θοίνην μετὰ καὶ ἄλλων, ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε τεθῆναι καὶ θυμιατήριον, καὶ ἐθυμιᾶτο, οἱ δ' ἄλλοι εἱστιῶντο. Ὁ τοίνυν Μενεκράτης πρῶτον μὲν ἐκαρτέρει, ὡς δὲ κατὰ μικρὸν ὁ λιμὸς περιῆλθεν αὐτὸν, ἀπιὼν ᾤχετο.

**27.** Ἰσοκράτης ἔλεγε τὴν Ἀθηναίων πόλιν ὁμοίαν εἶναι ἑταίραις· ὡς γὰρ [οἱ] ὑπὸ τοῦ κάλλους τούτων ἁλισκόμενοι σύνεισι μὲν αὐταῖς, ὅμως δὲ οὐδεὶς ἂν ὑπομεῖναι συνοικῆσαί τινι αὐτῶν, οὕτω καὶ ἡ πόλις ἐπιδημῆσαι μὲν ἡδίστη, ἐνοικῆσαι δὲ οὐκ ἀσφαλής. Ἠνίττετο δὲ τοὺς συκοφάντας καὶ τὴν λοιπὴν μοχθηρίαν αὐτῶν.

**28.** Κλεομένης ὁ Λάκων ἔλεγε τὸν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν, ὡς χρὴ πολεμεῖν διδάσκοντα, τὸν δὲ Ἡσίοδον τῶν εἱλώτων, ὡς χρὴ γεωργεῖν λέγοντα.

**29.** ‖ Καλλιστὼ ἡ ἑταίρα ἔλεγε τῷ Σωκράτει, ὅτι Κρείττων σου φ. 237b
εἰμὶ ἐγώ· ἐγὼ γὰρ δύναμαι τοὺς σοὺς πάντας ἀποσπάσαι, σὺ δὲ οὐδένα τῶν ἐμῶν. Ὁ δὲ Καὶ μάλα γε εἰκότως, εἶπε· σὺ μὲν γὰρ ἐπὶ τὸ κάταντες αὐτοὺς ἄγεις, ἐγὼ δ' ἐπὶ τὴν ἀρετήν· ὀρθία δ' εἰς αὐτὴν οἶμος καὶ οὐκ ἔθιμος τοῖς πολλοῖς.

**30.** Θεμιστοκλῆς, ἀτιμασάντων αὐτὸν Ἀθηναίων, εἶτα ἐπὶ τὴν ἀρχὴν παρακαλούντων Οὐκ ἐπαινῶ τοιούτους ἄνδρας, εἶπεν, οἳ τὴν αὐτὴν ἀμίδα καὶ οἰνοχόην ἔχουσιν.

**31.** Πολύκλειτος δύο εἰκόνας ἐποίησε, τὴν μὲν κατὰ τὸν τῆς τέχνης νόμον, τὴν δὲ χαριζόμενος τοῖς εἰςιοῦσι, πειθόμενος τῇ ἑκάστου ὑφηγήσει καὶ ἀεί τι μετατιθείς. Προὔθηκεν οὖν ἀμφοτέρας. Καὶ ἡ μὲν ἐγελᾶτο, ἡ δ' ἐπῃνεῖτο. Ὁ δὲ Ἀλλὰ ταύτην, ἔφη, ἣν ψέγετε, ὑμεῖς ἐποιήσατε, ταύτην δ' ἣν θαυμάζετε ἐγώ.

**32.** Δημάδης στρατηγὸς γενόμενος ὑπερηφάνως Φωκίωνι εἴρηκε Χρῆσόν μοι τὴν ῥυπαρὰν χλαμύδα σου, ἣν φορεῖν εἰώθεις στρατηγῶν. Ὁ δὲ Οὐδενός, εἶπε, σὺ ῥυπαροῦ ἀπορήσεις ἕςτ' ἂν τοιοῦτος εἶ.

8. καταμικρὸν 10. οἱ λείπει 11. ὑπομείνη συνοικῆσαι τινὶ
27. προύθηκεν 28. ἡ δ' 31. χρῆσον

φ. 238a **33** ‖ Στρατόνικον τὸν κιθαρῳδὸν ὑπεδέξατό τις· ὁ δὲ ὑπερήσθη. Ὡς δὲ καὶ ἄλλους εἶδεν εἰσερχομένους, ἔφη· Ἀπίωμεν ἐνθένδε· ἐοίκαμεν γὰρ ἀντὶ περιστερᾶς ἔχειν φάττας, ἀντὶ οἰκίας ἔχοντες πανδοκεῖον.

**34**. Λαύσων τινὸς εἰπόντος Γράψον ἵππον ἐγκαλινδούμενον, ἔγραψε τρέχοντα· τοῦ δὲ ἀγανακτοῦντος, Στρέψον, ἔφη, τὸ πινάκιον καὶ ἐγκαλινδούμενος ἔσται σοι ὁ τρέχων.

**35**. Ἱππόνικος ὁ Καλλίου ἐβούλετο ἀνδριάντα ἀναστῆσαι τῇ πατρίδι ἀνάθημα. Ἐπεὶ δέ τις συνεβούλευσε παρὰ Πολυκλείτῳ κατασκευάσαι τοῦτον, οὐκ ἔφη προςέξειν τοιούτῳ ἀναθήματι, οὗ τὴν δόξαν οὐχ ὁ ἀναθείς, ἀλλ' ὁ ποιήσας ἕξει.

**36**. Σωκράτης ἔλεγεν Ἀρχέλαον εἰς μὲν τὴν τῆς οἰκίας ζωγραφίαν τετρακοσίας ἀναλῶσαι μνᾶς, εἰς ἑαυτὸν δὲ οὐδὲν καὶ διὰ μὲν τὴν θέαν τῆς οἰκίας πολλοὺς ἥκειν, διὰ δὲ Ἀρχέλαον οὐδένα.

**37**. Ἑλληςπόντιος ἀνὴρ ἀφίκετο παρὰ τὴν ἀττικὴν Γνάθαιναν
φ. 238c τὴν ἑταίραν. Ἐπεὶ δὲ πολυλογῶν ἦν φορτικός, λέγει ἡ ‖ Γνάθαινα· Ἐξ Ἑλλησπόντου ἥκων πῶς τὴν καλλίστην τῶν ἐκεῖ πόλεων οὐκ ἔγνως; Τοῦ δ' εἰπόντος Καὶ τίς ἐστιν αὕτη, ἔφη Σίγειον καὶ ἐμμελῶς αὐτὸν διὰ τοῦ ὀνόματος ἐσίγησεν.

**38**. Μακαρεύς τις ἱερεὺς Διονύσου Μυτιληναῖος παρακαταθήκην χρυσοῦ δόντος αὐτῷ τινος ξένου καὶ ἐπανελθόντος καὶ ζητοῦντος ταύτην, ἀνορύξας, τὸν μὲν χρυσὸν ἀνείλετο τοῦ ὀρύγματος, τὸν δὲ ξένον ἀποκτείνας κατώρυξεν. Ἠμύνατο δ' αὐτὸν ἡ δίκη μετ' οὐ πολύ. Ἐν ἑορτῇ γὰρ οἱ παῖδες, μιμούμενοι τὴν τοῦ πατρὸς ἱερουργίαν, τῷ βωμῷ προςῆλθον· καὶ ὁ μὲν εἰς ἔθηκε τὸν τράχηλον ὑπὸ τῷ βωμῷ, ὁ δ' ἕτερος λαβὼν μάχαιραν ὡς ἱερεῖον αὐτὸν ἀπέσφαξε. Γενομένης οὖν βοῆς, ἡ μήτηρ, σχίζαν ἡμίκαυτον λαβοῦσα, τὸν περιληφθέντα παῖδα ἀπέκτεινεν ἀλγήσασα ἐπὶ τῷ συμβάντι. Ἀκούσας δ' ὁ Μακαρεὺς θυμοῦται καὶ τῷ θύρσῳ ᾧ κατεῖχε πλήξας τὴν γυναῖκα ἀπέκτεινεν. Ἁλοὺς δὲ ὁ ἱερεὺς καὶ στρεβλούμενος ἕκαστα ὡμολόγησε. Καὶ ὁ μὲν ἐναπέθανε ταῖς βασάνοις, ὁ δὲ ξένος ἐκεῖνος μετὰ τιμῆς ἐτάφη.

φ. 239a **39**. ‖ Ἀρχέτιμος ἐξ Ἐρυθρᾶς τῆς Ἰώνων πόλεως ἐς Τένεδον ἔπλευσε, πολλὴν φέρων ἐμπολήν, καὶ ταύτην Κυδίᾳ παρέθετο, οὐδὲν ἐλπίσας ἐξ ἐκείνου παθεῖν ἄδικον. Ὁ μέντοι Κυδίας ὑπὸ φιλοκερδείας ἐφθάρη,

4. ἵππον κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος οἶκον (;) 18. διονυσίου μιτυλήναῖος 21. μετουπολύ

καί, ἀπαιτούμενος τὸν χρυσόν, ὤμνυ μὴ λαβεῖν, καὶ τέλος ἔδοξεν ὀμόσαι τούτου πέρι Κυδίαν. Ὁ δὲ ἀνεβάλετο ἐς τρίτην τὸν ὅρκον, καί, ἀπελθὼν εἰς τὸν οἶκον, ἐμηχανήσατο τάδε· νάρθηκα κοιλάνας, τὸν πάντα χρυσὸν ἐνέβαλεν εἰς αὐτήν, καί, πλαττόμενος ἀλγεῖν τὸν πόδα, ἐπερείδετο τῇ νάρθηκι. Καταστὰς δὲ εἰς τὸν ναόν, δίδωσι τῷ Ἀρχετίμῳ τὴν νάρθηκα κατέχειν ἔστ' ἂν ὀμόσῃ τὸν ὅρκον· καί, ἀνατείνας τὴν χεῖρα, εἶπεν, ὡς λάβοι μὲν παρ' Ἀρχετίμου τὸν χρυσόν, ἀποδοίη δ' αὖθις αὐτῷ ὡς ἐν χεροῖν ἔχοντι τὴν νάρθηκα, ἐν ᾗ ὁ χρυσὸς ἐνῆν. Βαρυνθεὶς δ' ἐπὶ τοῖς λελεγμένοις ὁ Ἀρχέτιμος, ἀφίησι κατὰ γῆς τὴν νάρθηκα πληγῇ μεγάλῃ· ῥαγείσης δὲ οὕτως ἔρρευσεν ὁ τῆς παρακαταθήκης ὄγκος.

**40.** Κλεισθένης ὁ Ἀθηναῖος, τὸ δεῖν ἐξοστρακίζεσθαι πρῶτος εἰσηγησάμενος, πρῶτος || αὐτὸς ἔτυχε τῆς καταδίκης. Καὶ Ζάλευκος ὁ Λοκρῶν νομοθέτης, εἰσηγησάμενος τὸν ἐπὶ μοιχείᾳ ἁλόντα τοὺς ὀφθαλ- φ. 239ᵛ
μοὺς ἐκκόπτεσθαι, ἐπεὶ ὁ παῖς αὐτοῦ ἁλοὺς ἔμελλε πείσεσθαι, αὐτὸς τὸν ἑαυτοῦ ὀφθαλμὸν ἐπέδωκεν ὑπὲρ τοῦ ἑνὸς ὀφθαλμοῦ τοῦ παιδός.

**41.** Βασιλεύς τις Τενέδου νόμον ἔθετο τὸν ἁλόντα μοιχὸν κτείνεσθαι πελέκει. Ἁλόντος οὖν τοῦ υἱοῦ αὐτοῦ καὶ τοῦ λαβόντος ἐρομένου τὸν βασιλέα τί χρὴ ποιεῖν, Χρῆσθαι, ἔφη, τῷ νόμῳ. Διὸ ἐπὶ θάτερα τοῦ νομίσματος αὐτοῦ πέλεκυς ἐχαράσσετο, ἐπὶ θάτερα δ' ἐξ ἑνὸς αὐχένος πρόσωπον ἀνδρὸς καὶ γυναικός. Καὶ ἀπὸ τούτου λέγεται ἐπὶ τῶν ἀτόπων τὸ ἀποκεκόφθαι πελέκει Τενεδίῳ.

**42.** Ἐν Κύπρῳ Δημάνασσα γενομένη γυνὴ πολιτικὴ τε ὁμοῦ καὶ νομοθετικὴ τρεῖς τοῖς Κυπρίοις νόμους ἔθηκε, τὴν μοιχευθεῖσαν κειρομένην πορνεύεσθαι· θυγάτηρ αὐτῆς ἐμοιχεύθη, καὶ τὴν κόμην ἀπεκείρατο καὶ ἐπορνεύετο· τὸν ἀποκτείναντα ἑαυτὸν ἄταφον ῥί|| πτεσθαι· τρίτον τὸν ἀποκτείναντα βοῦν ἀλλότριον ἀποθανεῖν. Δυοῖν δ' αὐτῇ φ. 240ʳ
παίδων ἀρρένων ὄντων, ὁ μὲν ἐπὶ τῷ βοῦν ἀποκτεῖναι ἀπέθανε, τὸν δὲ αὑτὸν ἀποκτείναντα οὐκ ἔθαψεν. Ἡ δὲ τέως μὲν ἐκαρτέρει καὶ ἄπαις οὖσα καὶ νομοθετοῦσα. Ἰδοῦσα δὲ βοῦν ἐπὶ μόσχῳ ἀπολλυμένῳ μυκωμένην καὶ τὴν ἑαυτῆς ἐν ἄλλῳ συμφορὰν γνωρίσασα, τήξασα χαλκὸν εἰς αὐτὸν ἥλατο. Γενομένου δ' ἀνδριάντος ἐπὶ τῷ συμβάντι, ἐπεγράφη· Σοφὴ μὲν ἤμην, ἀλλ' οὐ πάντα εὐτυχής.

**43.** Θεαγένης ἦν Θάσιος ἀθλητής. Οὗτος ἐδόκει ῥώμῃ διενεγκεῖν

6. ὀμόσῃ κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ὀμόσῃ  8. ἔχοντα

Ε.Κ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοὺς καθ᾽ αὐτόν· καὶ δὴ σὺν ἑτέροις πολλοῖς καὶ τὸν Ὀλυμπιάσι τρὶς εἰλήφει στέφανον. Ὡς δ᾽ ἐπαύσατο καὶ ἧκεν ἐς τὴν πατρίδα λοιπόν, τοῦ σώματος παρακμάσαντος, ἦν ἀνὴρ οὐδενὸς χείρων περὶ τὰ κοινά, ἀλλ᾽ ὡς οἷόν τε ἄριστος. Ἐντεῦθεν, ὅπερ εἰκός, εἰς ἔχθραν τινὶ προῆλθε τῶν πολιτευομένων. Ὁ δὲ ζῶντι μὲν ἐφθόνει μόνον· τελευτήσαντι δὲ πρᾶγμα πάντων ἀνοητότατον καὶ ἀσεβέστατον ἐποίει.
φ. 240ε ‖ Ἀνδριάντα γὰρ αὐτοῦ ἑστῶτα ἐν μέσῃ τῇ πόλει νύκτωρ ἐμαστίγου. Τοιγαροῦν εἴτε ἀπὸ τύχης, εἴτε ἀπὸ δαιμονίου νεμεσήσαντος αὐτῷ κινηθεὶς ποτε ἐκ τῆς βάσεως ὁ ἀνδριὰς ἠκολούθησεν ἅμα τῇ μάστιγι καὶ κτείνει τὸν ἄνδρα. Νόμου δ᾽ ὄντος καταποντίζειν ἐάν τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινά, οἱ τοῦ τεθνεῶτος προσήκοντες αἴρουσι δίκῃ τὸν ἀνδριάντα καὶ κατεπόντωσαν. Λοιμοῦ δὲ συμβάντος, ὥς φασι, χαλεπωτάτου καὶ τῶν Θασίων οὐδενὶ τρόπῳ λῆξαι δυναμένων τῆς νόσου καὶ τελευταῖον χρωμένων, τοὺς φυγάδας αὐτοῖς ἀνεῖπε κατάγειν ὁ θεός. Ὡς δὲ πλέον οὐδὲν ἦν ἁπάντων ἐληλυθότων, χρωμένων αὖθις, λέγεται τὴν Πυθίαν οὕτως ἀνειπεῖν·

Θεαγένους δ᾽ ἐλάθεσθε ἐνὶ ψαμάθοισι πεσόντος·
κεῖθ᾽ ὑμῖν ὁ πρὶν μυριάεθλος ἀνήρ.

**44.** Παρίας τις πορθμεὺς λησταῖς διεπόρθμευσε πρεσβύτην αἰχμάλωτον καὶ πίτταν ὠνεῖται δὴ ταύτην παρὰ τῶν λῃστῶν, δεηθέντος
241α τοῦ πρεσβύτου. Ἦν δ᾽ ἐν τῇ ‖ πίττῃ κεκρυμμένον χρυσίον. Πλουτήσας οὖν ἔθυσε βοῦν τῷ πρεσβύτῃ. Ὅθεν ἡ παροιμία Οὐδεὶς ποτε βοῦν ἔθυσεν ἀλλ᾽ ἢ Παρίας.

**45.** Ἀνάξαρχος ὁ φυσικός, εἰπόντος αὐτῷ Ἀλεξάνδρου, ὅτι Κρεμῶ σε, Ἀπείλει τούτοις, ἔφη, τοῖς πολλοῖς, ἐμοὶ δ᾽ οὐδὲν διαφέρει ὑπὲρ γῆς ἢ κατὰ γῆς σήπεσθαι.

**46.** Γοργόνη Λακεδαιμονία, τοῦ υἱοῦ αὐτῆς ἐπὶ στρατείαν πορευομένου, τὴν ἀσπίδα ἐπιδιδοῦσα εἶπεν Ἢ ταύταν ἢ ἐπὶ ταύτας.

**47.** Θαλῆς ὁ Μιλήσιος ἐρωτηθεὶς Πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, Ὅσον, ἔφη, ὀφθαλμοὶ τῶν ὤτων.

**48.** Αἰσχίνης ὁ σωκρατικὸς ἐπιπληχθεὶς ὅτι Σωκράτει ἐσχολακὼς

4. οἷον 17. ἐλάθεσθ᾽ 18. μυρίαθλος 19. τίς διεπορθμευσε
29. Θαλλῆς πόσον κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος πόσου

σιωπᾷ, Οὐ γὰρ μόνον λέγειν, εἶπεν, ἔμαθον παρὰ Σωκράτους, ἀλλὰ καὶ σιωπᾶν.

**49**. Σόλων, ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ πότον, ἐπεὶ σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων σπάνιν ἢ διὰ μωρίαν σιωπᾷ, Ἀλλ' οὐδεὶς ἄν, εἶπε, μωρὸς σιωπᾶν ἐν συμποσίῳ δύναται.

**50**. Κλεόστρατος πρὸς τὸν εἰπόντα Οὐκ αἰσχύνῃ ‖ μεθύων; Σὺ δ' οὐκ αἰσχύνῃ, ἔφη, μεθύοντα νουθετῶν; φ. 241ʳ

**51**. Θεόκριτος, Ἀναξιμένους λέγειν μέλλοντος, Ἄρχεται, εἶπε, λέξεων μὲν ποταμός, νοῦ δὲ σταλαγμός.

**52**. Θαλῆς τῇ μητρὶ γυναῖκα λαβεῖν δεομένῃ Οὔπω καιρός, ἔλεγεν· εἶτα προβάς, Οὐκέτι καιρός.

**53**. Ὁ αὐτὸς ἐρωτηθεὶς διὰ τί ἀκμάζων οὐκ ἐπαιδοποίησεν, ἀπεκρίνατο· Διότι τὸ ζῆν οὐκ ἐβουλόμην λύπαις αὐθαιρέτοις κατεγγυῆσαι.

**54**. Ἐπαμινώνδας, ἐρωτηθεὶς τίς ὄνησις τῷ μὴ γήμαντι μηδὲ παιδοποιήσαντι, Τὸ μὴ ὀκνεῖν, εἶπεν, ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.

**55**. Συμβουλεύοντός τινος Λυκούργῳ κατὰ τῶν μὴ γαμούντων ἐπιτίμιον τάξαι, Χαλεπόν, εἶπεν, ὦ ἄνθρωπε, φορτίον ἡ γυνή.

**56**. Περικλῆς ὁ τῶν Ἀθηναίων στρατηγός, δυοῖν αὐτοῦ τὴν θυγατέρα μνηστευομένων, τοῦ μὲν πλουσίου καὶ ἀπαιδεύτου, τοῦ δὲ πένητος καὶ φιλολόγου, τῷ πένητι ταύτην ἐξέδωκεν. Ἐρωτηθεὶς δὲ ὑπό τινος διὰ τί τοῦτο ἐποίησεν, Ὅτι, ἔφη, ἀμείνων ἐστὶ τοῦ ὄντος ὁ δυνάμενος γενέσθαι πλούσιος.

**57**. ‖ Λοιμοῦ κατασχόντος Λακεδαιμονίους διὰ τὴν ἀναίρεσιν τῶν φ. 242ʳ
κηρύκων τῶν ἀποσταλέντων παρὰ Ξέρξου ἐπὶ ζητήσει γῆς καὶ ὕδατος ὥσπερ ἀπαρχῆς δουλείας, χρησμὸς ἐδόθη ἀπαλλαγήσεσθαι αὐτούς, εἴ γέ τινες Λακεδαιμόνιοι ἕλοιντο παρὰ βασιλέως ἀναιρεθῆναι. Ἑκόντες δὲ Βούλης καὶ Σπέρχης ἀφίκοντο πρὸς τὸν μέγαν βασιλέα ἐπὶ τῷ δίκας ὑποσχεῖν, καὶ ἠξίουν ἀναιρεθῆναι. Ὁ δέ, θαυμάσας αὐτῶν τὴν ἀρετήν, ἀφῆκε καὶ παρ' αὐτῷ μένειν ἠξίου. Οἱ δὲ Καὶ πῶς ἄν, ἔφασαν, δυναίμεθα τοιαύτην πατρίδα καταλιπεῖν, ὑπὲρ ἧς τοσαύτην ὁδὸν ἤλθομεν ἀποθανούμενοι;

**58**. Δημοσθένης εἶπε, δυοῖν οὔσαιν ὁδῶν, τῆς μὲν ἐπὶ τὸ βῆμα, τῆς δὲ εἰς Ἅδου, μᾶλλον ἂν ἑλέσθαι τὴν εἰς Ἅδου τὸν εὖ φρονοῦντα.

8. μέλλοντος 10. Θαλλῆς 12 (καὶ κατωτέρω πανταχοῦ). διατὶ
14. μὴδὲ



ΕΡ.ΣΤ.Π.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**59**. Ἀντισθένης, ἐρωτηθεὶς πῶς ἂν τις προσέλθοι πολιτείᾳ, εἶπε· Καθ' ἅπερ πυρί, μήτε λίαν ἐγγὺς, ἵνα μὴ καῇς, μήτε πόρρω, ἵνα μὴ ῥιγήσῃς.

**60**. Χρύσιππος, ἐρωτηθεὶς διὰ τί οὐ πολιτεύεται, εἶπε· Διότι, εἰ
φ. 242ε μὲν πονηρὰ πολιτεύσομαι, ‖ τοῖς θεοῖς ἀπαρέσει, εἰ δὲ χρηστὰ, τοῖς πολίταις.

**61**. Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον· Οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ, Ἀληθῆ λέγεις, εἶπεν· εἰ γὰρ ὠφελήθης, ἐπαύσω τῆς τυραννίδος ὥςπερ ἱερᾶς νόσου.

**62**. Ἀρχίδαμος ὁ Ἀγησιλάου, ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν, Ὦ Ἡράκλεις, ἀνεβόησεν· ἀπόλωλεν ἀνδρὸς ἀρετά.

**63**. Ὁ αὐτός, θεασάμενος τὸν ἴδιον παῖδα Ἆγιν προπετῶς μαχόμενον τοῖς Ἀθηναίοις, εἶπεν· Ἢ τῇ δυνάμει πρόςθες ἢ τοῦ θράσους ἄφελε.

**64**. Φίλιππος, ἐρωτώμενος οὕς τινας μάλιστα φιλεῖ καὶ οὕς τινας μάλιστα μισεῖ, Τοὺς μέλλοντας, ἔφη, προδιδόναι μάλιστα φιλῶ, τοὺς δ' ἤδη προδεδωκότας μάλιστα μισῶ.

**65**. Εὐδαμίδας, ἀκούσας φιλοσόφου διαλεχθέντος, ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν, Ὁ μὲν λόγος, ἔφη, θαυμαστός, ὁ δὲ λέγων οὐ περισεσάλπισται.

**66**. Γελλίας ὁ Ἀκραγαντῖνος, ἐπιξενωθεὶς ἀνδρὶ σκληρῷ καὶ ἀπὸ
φ. 243α παντὸς πορίζοντι, ὃς οὐδὲ καθεύδειν τοῖς οἰκέταις ἐπέτρεπεν, ‖ ἀλλ' ἄλλος ἄλλο τι τὴν νύκτα εἰργάζετο, ὑποδεξάμενος καὶ αὐτὸς τοῦτον, εἰς Ἀκράγαντα ἀφικόμενον, μετὰ δεῖπνον συνεκάλει τὰ παιδία τῶν οἰκετῶν, καὶ ἐδίδου τοῖς μὲν κάρυα, τοῖς δὲ σῦκα ξηρά· τὰ παιδία δ' ἦσαν πάμπολλα. Ἐρομένου δὲ πόθεν παιδία τοσαῦτα, Ταῦτ', ἔφη, οἱ ἐμοὶ οἰκέται ἐν νυξὶ ποιοῦσιν.

**67**. Θεανὼ ἡ πυθαγορικὴ φιλόσοφος, ἐρωτηθεῖσα ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει, Ἀπὸ μὲν τοῦ ἰδίου, εἶπε, παρὰ χρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε.

**68**. Πιττακός, παρακαλούμενος υἱῷ καὶ πατρὶ διαιτῆσαι, εἶπε πρὸς τὸν υἱόν· Εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρὸς, κατακριθήσῃ· εἰ δὲ δικαιότερα, διὰ τοῦτο αὐτὸ ἄξιος εἶ κατακριθῆναι.

**69**. Ζήνων τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέ-

2. καθάπερ 3. ῥιγώσῃς 4. εἶπεν 5. πολιτεύομαι 12. ἄγιν
17. Ευδαμίδας 22. ἄλλό 24. σῦκα 28. παραχρῆμα

τροις, οὐ πυρὸν οὐδ' ἄλλο τι τῶν σπουδαίων μετροῦσιν, ἀλλ' ἄχυρα καὶ κόπρια.

**70.** Ὁ αὐτὸς ἔλεγεν Οἱ ἐν διαλεκτικῇ βραδύνοντες ἐοίκασι καρκίνους μασωμένους, οἳ δι' ὀλίγον τρόφιμον περὶ πολλὰ ἀσχολοῦνται ὀστέα.

**71.** Κλεάνθης, ἐρωτώμενος διὰ τί παρὰ τοῖς ‖ ἀρχαίοις, οὐ πολλῶν φιλοσοφησάντων, ὅμως πολλοὶ διέλαμψαν ἢ νῦν, Ὅτι, εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος. φ. 243ᵛ

**72.** Ὁ μὲν Ἀρίστων ἔλεγεν ἐοικέναι τὴν διαλεκτικὴν τῷ ἐν ταῖς ὁδοῖς πηλῷ· πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνον χρήσιμον ὄντα καταβάλλειν τοὺς βαδίζοντας. Καρνεάδης δ' ἔλεγε τὴν αὐτὴν ἐοικέναι πολύποδι· καὶ γὰρ ἐκεῖνον αὐξηθείσας τὰς πλεκτάνας κατεσθίειν, καὶ ταύτοις, προϊούσης τῆς δυνάμεως, καὶ τὰ σφέτερα αὐτῶν ἀνατρέπειν. Ἔτι ὁ Ἀρίστων εἴκαζε τοὺς τῶν διαλεκτικῶν λόγους τοῖς τῶν ἀραχνίων ὑφάσμασιν, οὐδὲν μὲν χρησίμοις, λίαν δὲ τεχνικοῖς. Ὁ δὲ Κλειτόμαχος ἔλεγε τὴν διαλεκτικὴν ἐοικέναι τῇ σελήνῃ· καὶ γὰρ ταύτην οὐ παύεσθαι φθίνουσαν καὶ αὐξανομένην· καὶ ὡς ὁ ἐλλέβορος ὁλοσχερέστερος μὲν ληφθεὶς καθαίρει, εἰς δὲ πάνυ σμικρὰ τριφθεὶς πνίγει, οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.

**73.** Σωκράτης εἶπε Πολλοῦ γ' ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν συνῆν αὐτῷ. Νῦν δ' ἄμφω ταῦτα κεχώρισται· ἐάν τε γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, τῇ ἡδυπα‖θείᾳ διαφθείρονται, ἐάν τε φ. 244ʳ τὸν πλοῦτον φυλάττειν, τῇ φροντίδι, ἐάν τε κτήσασθαι, τῇ ἐπιθυμίᾳ.

**74.** Εὐφράτης ὁ Σύρος, τὴν γυναῖκα ἀποβαλών, ἔλεγεν· Ὦ φιλοσοφία, τυραννικά σου τὰ ἐπιτάγματα· ἣν ἂν ἔχῃ τις, λέγεις Φίλει, κἂν ἀποβάλῃ, λέγεις Μὴ λυποῦ.

**75.** Σωκράτης, θεασάμενός τινα τῶν μαθητῶν αὐτοῦ τοῦ μὲν ἀγροῦ ἐπιμελούμενον, ἑαυτοῦ δὲ ἀμελοῦντα, Ὅρα, ὦ οὗτος, ἔφη, μή, τὸν ἀγρὸν ἐξημερῶσαι βουλόμενος, τὴν ψυχὴν ἀγριώσῃς. Καταμαθὼν δέ τινα τῶν γνωρίμων κατεσπουδακότα, ὅπως αὐτῷ ἡ εἰκὼν ὁμοία γένοιτο, πρὸς αὐτὸν εἶπε· Σοὶ ὅπως μὲν ὁ λίθος ὅμοιός σοι γένοιτο ἐσπούδασας, ὅπως δὲ μὴ αὐτὸς γένοιο λίθῳ ὅμοιος οὐ φροντίζεις.

**76.** Λάκων, ἐρωτηθεὶς διὰ τί ἡ Σπάρτη ἀτείχιστός ἐστι, Μὴ ψεύδου, ἔφη· τετείχισται γὰρ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

1. υρρὸν ἀλλό 3. βαδύνοντες 4. μασσωμένοις 9. ἐκείνων 14. χρησίμους τεχνικοὺς κλιτόμαχος 26. θεασάμενος τινὰ αὐτοῦ

ΙΩΑΝΝΙΝΑ 2006

**77.** Ἀγησίλαος ὁ Λακεδαιμονίων στρατηγός, προσελθόντος αὐτῷ τινος ἀσπάσασθαι καλλίστου, ἐξέκλινεν, εἰρηκὼς ἄμεινον εἶναι τῶν
φ. 244β τοιούτων ἐπάνω γίνεσθαι || ἢ πολυανδροῦσαν πόλιν κατὰ κράτος ἑλεῖν· κρεῖττον γὰρ ἑαυτῷ φυλάττειν τὴν ἐλευθερίαν τοῦ ἑτέρων ἀφαιρεῖσθαι.

**78.** Ἀλέξανδρος, εἰς Ἰλλυριοὺς παραγενόμενος ἐν τῷ τοῦ Διὸς ἱερῷ καὶ κατιδὼν γυναῖκα κάλλει διαφέρουσαν, ἐκπλαγεὶς αὐτῆς τὴν εὐμορφίαν, πολὺν χρόνον ἐθεᾶτο. Τοῦ δ' Ἡφαιστίωνος εἰπόντος Οὐκοῦν εἰκός ἐστι παραλαβεῖν αὐτὴν ἐρωμένην, ἔφη· Καὶ πῶς οὐ δεινόν, ἦν, ἄλλων ἀκρασίας κολάζειν βουλόμενοι, δουλεύοντες ἀκρασίαις ὑπὸ τῶν ἐκτὸς ἀνθρώπων φωραθῶμεν.

**79.** Μενέδημος, νεανίου τινὸς εἰπόντος Μέγα ἐστὶ τὸ τυχεῖν ὧν ἄν τις ἐπιθυμῇ, εἶπε· Πολλῷ μεῖζον τὸ μηδ' ἐπιθυμεῖν ὧν μὴ δεῖ.

**80.** Ξάνθος ὁ σοφός, θεασάμενος ἐπὶ θύραις εὐπρεποῦς γυναικὸς ἄνδρα οἰκοφθόρον, εἶπεν· Οὗτος ἡδονὴν μικρὰν ὠνεῖται κινδύνῳ μεγάλῳ.

**80α.** Ἀλέξανδρος, θεασάμενός τινα ὁμώνυμον αὐτῷ δειλὸν ὄντα, ἔφη· Νεανίσκε, ἢ τὸ ὄνομα ἄλλαξον ἢ τὸν τρόπον.

**81.** Τοῦ αὐτοῦ ἐξιόντος ἐπὶ τὸν πόλεμον, Ἀριστοτέλης ἔφη·
φ. 245α Περίμεινον τὸ τέλειον || τῆς ἡλικίας, καὶ τότε πολέμει. Ὁ δὲ Φοβοῦμαι, εἶπε, μή, περιμένων τὸ τέλειον τῆς ἡλικίας, τὴν τόλμαν ἀπολέσω τῆς νεότητος.

**82.** Λάκων, ὀνειδιζόμενος ὑπό τινος, ὅτι, χωλὸς ὤν, ἔξεισιν ἐπὶ τὸν πόλεμον, Καὶ τί τοῦτο; ἔφη· οὐ φευγόντων ἐστὶ χρεία, ἀλλ' ἱσταμένων καὶ ἀγωνιζομένων.

**83.** Λεωνίδης ὁ Λακεδαιμόνιος, ὀλίγους ἔχων στρατιώτας, εἰς τὴν πρὸς τοὺς Πέρσας μάχην ἐξεπορεύετο. Εἰπόντος δέ τινος ὡς μετ' ὀλίγων παντελῶς ἐκπορεύεται, εἶπεν· Ἀλλὰ μετὰ βουλομένων.

**84.** Λάκων ἀσθενῶς τὸ σῶμα διακείμενος ἐπὶ παράταξιν προῆγε. Λεγόντων δέ τινων αὐτῷ Ποῦ τοιοῦτος ὢν πορεύῃ, ἔφη· Ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν.

**85.** Λάκαινα, τοῦ υἱοῦ αὐτῆς ἐν παρατάξει χωλωθέντος καὶ δυσφοροῦντος ἐπὶ τούτῳ, Μὴ λυποῦ, τέκνον, εἶπε· καθ' ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ.

**86.** Πύρρου ἐπιστρατεύσαντος Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος, Δερκυλλίδας, εἷς τῶν γερόντων, ἀναστὰς ἐν τῇ ἐκκλησίᾳ,

3. κατακράτος  12. μὴδ'  31. ἐπὶ  καθέκαστον

εἶπεν· Εἰ μὲν θεός ἐστιν ὁ ἀπειλῶν, μὴ || φοβώμεθα, ἐπεὶ οὐκ ἀδικοῦμεν· εἰ δ' ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν. φ. 245ᵛ

**87.** Κελτοὶ οἱ τῷ Ὠκεανῷ γειτνιῶντες αἰσχρὸν ἡγοῦνται τοίχου καταπίπτοντος ἢ οἰκίας φεύγειν· πλημμυρίδος δ' ἐκ τῆς θαλάττης ἐπερχομένης τῆς ἔξω μεθ' ὅπλων ἀπαντῶντες ὑπομένουσιν, ἵνα κατακλύζωνται, ὅπως μὴ δοκῶσι φοβεῖσθαι τὸν θάνατον.

**88.** Δᾶτις ὁ τοῦ Δαρείου στρατηγὸς μετὰ τριάκοντα μυριάδων ἐν Μαραθῶνι κατεστρατοπεδεύσατο. Ἀθηναῖοι δέ, οὐδὲ πολλοστημόριον ὄντες τῆς ἐκείνων δυνάμεως, ἐπ' αὐτοὺς ὁμόσε ἵεντο, ἔχοντες στρατηγοὺς Πολύζηλον, Καλλίμαχον, Κυναίγειρον, Μιλτιάδην. Συρραγείσης δὲ τῆς μάχης, Πολύζηλος μέν, ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος, τὴν ὅρασιν ἀπεκόπη καὶ τυφλὸς ὢν ἀνεῖλε τεσσαράκοντα καὶ ὀκτώ. Καλλίμαχος δέ, πολλοῖς περιπεπαρμένος δόρασι, καὶ νεκρὸς ἐστάθη. Κυναίγειρος δέ, περσικῆς περιδεδραγμένος νεώς, ἐχειροκοπήθη. Ὅθεν καὶ εἰς αὐτοὺς τοιάδε γεγράφαται·

Ὢ καματοιο κενοῦ καὶ ἀπειρήτου πο||λέμοιο. φ. 246ʳ
Ἡμετέρῳ βασιλῆι τί λέξομεν ἀντιάσαντες;
Ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;
Βάλλομεν· οὐ πίπτουσι· τιτρώσκομεν· οὐ φοβέονται·
Μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν. Ἐν δ' ἄρα μέσσαις
αἱματόεις ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις,
κ' οὐ θέλει πεσέειν. Τάχα δ' ἔρχεται ἔνδοθεν νηῶν.
Λῦε, κυβερνῆτα· νέκυος προφύγωμεν ἀπειλάς.

**89.** Ζήνων ὁ Στωικὸς φιλόσοφος, ἐρωτηθεὶς ὑπό τινος τῶν γνωρίμων πῶς ἂν μηδὲν φαῦλον πράττωμεν, εἶπεν· Ἐὰν διὰ παντὸς ὑπολαμβάνητέ με συμπαρόντα ὑμῖν.

**90.** Δημώνακτα αἰτιωμένου τινὸς τῶν ἑταίρων καὶ φήσαντος Οὐκ ἐχρῆν σε τῷ ἐχθρῷ μου φίλον εἶναι, Ἀλλ' οὐδὲ σέ, ἔφη, τῷ φίλῳ μου ἐχθρὸν γενέσθαι.

**91.** Δημοσθένης, ὀνειδιζόμενος, ὅτι πονηροῖς συνδιατρίβει καὶ φαύλοις ἀνθρώποις, ἔφη· Ἐκεῖνος ἄριστός ἐστιν ἰατρός, ὃς τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

**92.** Σόλων, ἐπερωτῶν Κροῖσον τί παρὰ τῆς βασιλείας ἔσχε τι-

16. κενεοῦ καμάτοιο καὶ ἀπείρκτου 20. μέσαις 22. κοὺ θέλοι
25. διαπαντός

Ε.Υ.Α. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φ. 246ν μιώτατον, εἶτα ἐκείνου ‖ εἰρηκότος [τὸ] τοὺς ἐχθροὺς μετελθεῖν καὶ φίλους εὐεργετεῖν, Τόσῳ μᾶλλον, ἔφη, χαριέστερον ἐποίησας εἰ καὶ τούτους εἰς φιλίαν μετετροπώσω.

**93.** Κύρῳ πέμψαντός τινος κόσμον πολυτελῆ διέδωκε τοῖς φίλοις. Ἐρωτηθεὶς δὲ διὰ τί οὐχ ὑπελείπετο ἑαυτῷ, ἔφη, ὅτι τὸ μὲν σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι κοσμεῖσθαι, φίλους δὲ κεκοσμημένους ὁρῶν μέγιστον αὐτῷ κόσμον ἀποκεῖσθαι δόξει.

**94.** Τίμων ὁ μισάνθρωπος, ἐρωτηθεὶς διὰ τί πάντας ἀνθρώπους μισεῖ; Διότι, εἶπε, τοὺς μὲν πονηροὺς εὐλόγως μισῶ, τοὺς δὲ λοιποὺς ὅτι οὐ μισοῦσι τοὺς πονηρούς.

**95.** Ῥωμύλος ἐγκαλούμενος, ὅτι πονηροῖς ἀνθρώποις σύνεστιν, ἔφη· Καὶ ἰατροὶ τοῖς νοσοῦσιν, ἀλλ' αὐτοὶ ὑγιαίνουσιν.

**96.** Ἀντίγονος ὁ βασιλεὺς τοῖς θεοῖς θύων εὔχετο φυλάττειν αὐτὸν ἀπὸ τῶν δοκούντων εἶναι φίλων. Πυνθανομένου δέ τινος διὰ ποίαν αἰτίαν τοιαύτην εὐχὴν ποιεῖται, ἔφη, ὅτι Τοὺς ἐχθροὺς γινώσκων φυλάσσομαι.

Ἐρωτηθεὶς ὁ αὐτὸς ὑπό τινος ὅπου τοὺς θησαυροὺς ἔχοι, δείξας τοὺς φίλους, ἔφη· Ἐν τούτοις.

φ. 247α **97.** Ἀρίστιππος, κατηγορούμενος ὑπό τινος πῶς ‖ προΐεται μὴ φιλούσης αὐτὸν τῆς γυναικός, [ἔφη, ὅτι] καὶ τὸν οἶνον καὶ τὸν ἰχθῦν οἴεται μὴ φιλεῖν αὐτόν, ἀλλ' ἡδέως χρῆται αὐτοῖς.

**98.** Βίας, θανατικὴν κρίνων κρίσιν, ἐδάκρυσεν. Εἰπόντος δέ τινος Τί παθὼν αὐτὸς καταδικάζων κλαίεις; εἶπεν, ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

**99.** Πιττακός, ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν, εἰπὼν Συγγνώμη τιμωρίας ἄμεινον· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.

**100.** Πειρατῇ τινι ἐκπεπτωκότι εἰς τὴν γῆν καὶ διαφθειρομένῳ χειμῶνος, περιβόλαιόν τις δέδωκε, καὶ εἰς τὴν οἰκίαν εἰσήγαγεν. Ὀνειδισθεὶς δὲ ὑπό τινος ὅτι πονηροὺς εὐεργετεῖ, Οὐ τὸν ἄνθρωπον, ἔφη, ἀλλὰ τὸ ἀνθρώπινον τετίμηκα.

**101.** Ἀνακρέων ὁ ποιητής, λαβὼν τάλαντον χρυσίου παρὰ Πολυκράτους τυράννου, ἀπέδωκεν, εἰπὼν Μισῶ δωρεὰν ἥτις ἀναγκάζει με ἀγρυπνεῖν.

**102.** Δημόκριτος, ἰδών τινα προχείρως πᾶσι χαριζόμενον, Κακῶς,

7. αὐτῷ 11. πονηροις 16. ἔχει 22. ἀναγκαῖον ἐστι

εἶπεν, ἀπόλοιο, ὅτι τὰς χάριτας παρθένους οὔσας πόρνας ‖ ἐποίησας. φ. 247ε

**103**. ‖ Ἀλέξανδρος Ξενοκράτει τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν, εἰ μὴ φίλον ἔχει Ξενοκράτης. Ἐμοὶ γάρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἐπήρκεσεν.

**104**. Ἀρταξέρξης ὁ Περσῶν βασιλεύς, οὐχ ἧττον οἰόμενος βασιλικὸν καὶ φιλάνθρωπον εἶναι τοῦ μεγάλα διδόναι τὸ μικρὰ λαμβάνειν εὐμενῶς, ἐπεί, βαδίζοντος αὐτοῦ, αὐτουργὸς ἄνθρωπος, οὐδὲν ἔχων ἕτερον, ἐκ ποταμοῦ ταῖς χερσὶν ἀμφοτέραις ὕδωρ ὑπολαβὼν προςήνεγκεν, ἡδέως ἐδέξατο, καὶ ἐμειδίασε, τῇ προθυμίᾳ τοῦ διδόντος τὴν χάριν ἐπιμετρήσας.

**105**. Δημοσθένης, εὐχερῶς αὐτῷ τινος ἀργύριον χρήσαντος, ἐπεὶ ἑώρα πολλοῖς τὸ αὐτὸ ποιοῦντα, Οὐκέτι σοι, ἔφη, χάριν ἔχω· νόσῳ γὰρ καὶ οὐ κρίσει τοῦτο ποιεῖς.

**106**. Κλέων, ὅτε πρῶτον ἔγνω τῆς πολιτείας ἅπτεσθαι, τοὺς φίλους συναγαγὼν διέλυσε τὴν φιλίαν, ὡς πολλὰ τῆς ὀρθῆς καὶ δικαίας προαιρέσεως μαλάσσουσαν ἐν τῇ πολιτείᾳ καὶ παράγουσαν.

**107**. Ἀλέξανδρος, τοῦ οἰνοχόου αὐτοῦ ἀπολέ‖σαντος φιάλην χρυσῆν καὶ διὰ τοῦτο δυςφοροῦντος, μαθὼν τοῦτο καὶ προςκαλεσάμενος αὐτόν, Θάρσει, εἶπεν, ὦ παῖ· ὅπου γὰρ εἴη ἡμετέρα ἐστίν. φ. 248α

**108**. Ὁ αὐτός, ἐρωτηθεὶς ποῖος βασιλεὺς ἄριστος, ἔφη· Ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φίλους ποιούμενος.

**109**. Διογένης ἐρωτηθεὶς πῶς ἂν τις πολιτεύοιτο ἐπ' ἐξουσίᾳ, ἔφη· Καθ' ἅπερ πυρί, μήτε λίαν ἐγγὺς εἶναι, ἵνα μὴ κατακαῇ, μήτε πόρρω, ἵνα μὴ ῥιγήσῃ.

**110**. Ἀγάθων εἶπε· Τὸν ἄρχοντα τριῶν δεῖ μεμνῆσθαι, πρῶτον, ὅτι ἀνθρώπων ἄρχει, δεύτερον, ὅτι κατὰ νόμους ἄρχει, τρίτον, ὅτι οὐκ ἀεὶ ἄρχει.

**111**. Ἀντίγονος πρός τινα μακαρίζουσαν αὐτὸν γραῦν Εἰ ᾔδεις, ὦ μῆτερ, ὅσων κακῶν ἐστι μεστὸν τουτὶ τὸ ῥάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας ἀποκείμενον ἐβάστασας.

**112**. Ἐπαμινώνδας ὁ Θηβαίων στρατηγός, ἰδὼν στρατόπεδον μέγα στρατηγὸν οὐκ ἔχον καλόν, Ἡλίκον, ἔφη, θηρίον κεφαλὴν οὐκ ἔχει.

**113**. Εὐμένης ὁ βασιλεὺς ἔλεγε τοῖς ἀδελφοῖς διὰ παντός Ἐὰν

…όλλοιο 24. καθάπερ 25. ῥιγώσῃ 34. διαπαντός

φ. 248α μὲν ὡς βασιλεῖ μοι προσφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χρήσομαι, ἐὰν δὲ ὡς ἀδελφῷ, ἐγὼ ὑμῖν ὡς βασιλεύς.

**114**. Ἰσοκράτης, ἀκούσας παρά τινος, ὅτι ὁ δεῖνα ἐπ' ἐμοῦ κατὰ σοῦ τάδε ἐλοιδόρει, Εἰ μὴ γὰρ σύ, εἶπεν, ἡδέως ἤκουες, οὐκ ἂν ἐκεῖνος ἐλοιδόρει.

**115**. Ὁ δὲ Σωκράτης, ἀπαγγείλαντός τινος, ὅτι Ὁ δεῖνά σε κακῶς λέγοι, Καὶ τυπτέτω με, ἔφη, μὴ παρόντα.

**116**. Δημώνακτα δέ τινος αἰτιωμένου καὶ φήσαντος Διὰ τί με κακῶς λέγεις; Ὅτι μὴ καταφρονεῖς, ἔφη, τῶν κακῶς λεγόντων.

**117**. Διογένης, λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· Σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὸν κρανίον ἀπέλιπον.

Προδότου δέ τινος κακῶς αὐτὸν λέγοντος, ἔφη· Χαίρω ἐχθρός σου γενόμενος· σὺ γὰρ οὐ τοὺς ἐχθρούς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

**118**. Ἀρίστιππος, ὑβριζόμενος ὑπό τινος, ἀνεχώρει. Τοῦ δὲ ἐπιδιώκοντος καὶ λέγοντος Φεύγεις; Ναί, ἔφη· τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ.

**119**. Πελοπίδης, ἀνδρείου στρατιώτου διαβληθέντος ὡς βλασφη-
φ. 249α μοῦντος αὐτόν, ‖ Ἐγώ, ἔφη, τὰ μὲν ἔργα αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα.

**120**. Δημοσθένης, λοιδορουμένου τινὸς αὐτῷ, Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα, ἐν ᾧ ὁ νικώμενος τοῦ νικῶντός ἐστι κρείττων.

**121**. Χρυσίππῳ εἰπόντος τινὸς Ὁ φίλος σε λάθρα λοιδορεῖ, εἶπε· Μὴ ἔλεγχε αὐτόν, ἐπεὶ φανερῶς αὐτὸ μέλλει ποιεῖν.

**122**. Ὁ αὐτός, ὑπό τινος πολλὰ λοιδορηθείς, ἔφη· Κάλλιστα ἐποίησας μηδέν σοι τῶν προσιόντων καταλιπών.

**123**. Ἑτέρου δέ τινος λέγοντος, ὅτι Σέ τινες λοιδοροῦσιν, ἔφη· Ἀλλ' ἐγὼ οὕτως διάξω ὥστε ἀπιστεῖσθαι αὐτούς.

Ἔλεγε δ' ὁ αὐτὸς τῶν ἡδυσμάτων τὸ πῦρ εἶναι κράτιστον.

**124**. Τοὺς Ῥοδίους ὁ Στρατόνικος ἐπισκώπτων εἰς πολυτέλειαν, οἰκοδομεῖν μὲν ὡς ἀθανάτους εἶπεν, ὀψωνεῖν δὲ ὡς ὀλιγοχρονίους.

**125**. Διογένης, ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη περιφέροντας, ἤρετο Τίνος ταῦτα. Τῶν δὲ εἰπόντων Ἀναξιμένους, Οὐκ αἰδεῖται, φησί, ταῦτα ἔχων ἅπαντα, αὐτὸς ἑαυτὸν μὴ ἔχων;

φ. 249β **126**. ‖ Σιμωνίδης, ἐρωτηθεὶς πότερον αἱρετώτερον, πλοῦτος ἢ

6. δεῖνα 21. νικῶντος ἐστὶ 26. σὲ τινὲς 30. ὀλιχρονίους

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εκδόσεις Κ. Π ΙΩΑΝΝΙΝΑ 2006

σοφία, Οὐκ οἶδα ἔφη· ὁρῶμεν γέ τοι τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας.

**127.** Ἀριστείδης ὁ δίκαιος, ὀνειδιζόμενος ἐπὶ πενίᾳ ὑπό τινος πλουσίου, εἶπεν· Ἐμοὶ μὲν ἡ πενία οὐδὲν ποιήσει κακόν, σοὶ δὲ ὁ πλοῦτος ταραχὰς μυρίας.

**128.** Δημοσθένης ὁ ῥήτωρ, θεασάμενός τινα ἐκφερόμενον φιλάργυρον, ἔφη· Οὗτος βίον ἀβίωτον βιώσας ἑτέροις βίον κατέλιπεν.

**129.** Ἀλεξάνδρῳ εἰπόντος τινὸς τῶν εὐνοεῖν δοκούντων, ὅτι Αἱ πόλεις σου δύνανται πλείονας προσόδους παρέχειν, ἔφη· Καὶ κηπουρὸν μισῶ τὸν ἐκ ῥιζῶν ἐκτέμνοντα τὰ λάχανα.

**130.** Εὐριπίδης ὁ τραγῳδός, ἐπεὶ ὀψωνοῦντος αὐτοῦ ἐπελάβετό τις λέξας, ὅτι Σοφοκλῆς διὰ δούλου τοῦτο ποιεῖ, εἶπε· Τοιγαροῦν ὁ Σοφοκλῆς ἐσθίει ὄψον ὁποῖον ἂν τῷ οἰκέτῃ ἀρέσοι, ἐγὼ δὲ ὁποῖον ἂν ἐμοί.

**131.** Ἐσθίων ποτὲ Ἰσοκράτης παρὰ Νικοκράτει ‖ τῷ Κυπρίων φ. 250α τυράννῳ, προτρεπομένων αὐτῷ τῶν παρόντων διαλεχθῆναι, ἔφη Ἐν οἷς μὲν ἐγὼ δεινὸς οὐχ ὁ νῦν καιρός, ἐν οἷς δέ γε ὁ νῦν καιρὸς οὐκ ἐγὼ δεινός.

**132.** Διογένης, λέγειν ποτὲ καλούμενος ὑπὸ Ἀθηναίων ἐν ἐκκλησίᾳ, Βραχύ, ἔφη, βούλεσθε πρὸς ὑμᾶς εἰπεῖν τι; Τῶν δὲ εἰπόντων Βουλόμεθα, Διόγενες, καὶ σιωπησάντων, Νεανίας, εἶπε, θέρους ὥρᾳ ἐμισθώσατο ἐξ ἄστου ὄνον· μεσούσης δὲ τῆς ἡμέρας καὶ τοῦ ἡλίου σφοδρῶς φλέγοντος, ἑκάτερος αὐτῶν ἐβούλετο ὑποδύεσθαι τὴν σκιὰν καὶ εἶργον ἀλλήλους, ὁ μὲν ὄνον μεμισθωκέναι λέγων, οὐ τὴν σκιάν, ὁ δὲ μισθωσάμενος τὴν πᾶσαν ἔχειν ἐξουσίαν. Καὶ ταῦτ' εἰπὼν ἀπῄει. Τῶν δ' Ἀθηναίων ἐπισχόντων καὶ δεομένων πέρας ἐπιθεῖναι τῷ λόγῳ, Εἶτα ὑπὲρ μὲν ὄνου σκιᾶς, ἔφη, βούλεσθε ἀκούειν, λέγοντος δέ μου ὑπὲρ σπουδαίων πραγμάτων ἀκούειν οὐ βούλεσθε.

Ἀττικοῦ δέ τινος ἐγκαλοῦντος αὐτῷ διότι τοὺς Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει, Οὐδὲ γὰρ ‖ ἰατρός, εἶπεν, φ. 250β ὑγιείας ὢν ποιητικὸς ἐν ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.

**133.** Ἀνταγόρας, ἐπεὶ ἀνεγίνωσκε τὸ τῆς Θηβαΐδος παρὰ τοῖς Βοιωτοῖς σύγγραμμα καὶ οὐδεὶς τούτων ὑπεσημαίνετο, κλείσας τὸ βιβλίον, Δικαίως, εἶπε, καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε.

3. Ἐν τῇ ᾤᾳ ἄλλου: 6. θεασάμενος τινὰ Ἐν τῇ ᾤᾳ C ἢ 1 9. κηπωρὸν 15. ἀρέσει 19. υπό 30. ὑγείας

Ε.Υ.Α. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**134.** Ἀντισθένης τοῖς μέλλουσι σώζεσθαι ἔφη φίλων δεῖν γνησίων ἢ διαπύρων ἐχθρῶν· οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσιν.

**135.** Αἴσωπος ἔφη δύο πήρας ἕκαστον ἡμῶν φέρειν, τὴν μὲν πρόσθεν, τὴν δὲ ὄπισθεν, καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

**136.** Ἐμπεδοκλῆς, ἐρωτηθεὶς διὰ τί σφόδρα ἀγανακτεῖ κακῶς ἀκούων, ἔφη· Ὅτι οὐδὲ ἐπαινούμενος ἡσθήσομαι, εἰ μὴ κακῶς ἀκούων λυπηθήσομαι.

**137.** Σωκράτης, ἰδὼν πλούσιον ἀπαίδευτον, ἔφη· Ἰδοὺ καὶ τὸ χρυσοῦν ἀνδράποδον.

Ὁ αὐτός, ἐρωτηθεὶς τί τῶν ζῴων κάλλιστον, ἔφη· Ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

φ. 251ν **138.** Ὀνειδιζόμενος δ' ὅτι βαρβαρίζει, ‖ Ἐγὼ μέν, ἔφη, τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ.

Ἐρωτηθεὶς δὲ τί τῶν μαθημάτων ἄριστον, Τὸ ἀπομαθεῖν, εἶπε, τὰ κακά.

**139.** Ἐμπεδοκλῆς πρὸς τὸν λέγοντα, ὅτι Οὐδένα σοφὸν εὑρεῖν δύναμαι, Κατὰ λόγον, εἶπε· τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρῶτον εἶναι δεῖ σοφόν.

**140.** Θεόκριτος ὁ Χῖος, ἀφυοῦς ποιητοῦ ἀκρόασιν ἀπαγγείλαντος, ἐρωτώμενος ὑπ' αὐτοῦ ποῖα ἐστι τὰ καλῶς εἰρημένα, ἔφη· Ἅττα δὴ παρέλιπες.

**141.** Ἱέρων ὁ Σικελιώτης, Ξενοφάνους τοῦ Κολοφωνίου ποιητοῦ τὸν Ὅμηρον ψέγοντος, ἠρώτησεν αὐτὸν πόσους οἰκέτας ἔχει. Τοῦ δὲ εἰπόντος δύο καὶ τούτους μόλις τρέφειν, Οὐκ αἰσχύνῃ, φησίν, Ὅμηρον, ψέγων, ὃς μετηλλαχὼς πλείονας ἢ μυρίους τρέφει;

**142.** Φιλόσοφος ἔχων δύο μαθητάς, ἕνα μὲν ἀφυῆ, φιλόπονον δέ, ἕτερον δὲ εὐφυῆ, ῥάθυμον δέ, εἶπεν· Ἀμφότεροι ἀπόλοισθε, ὅτι σὺ μὲν θέλων οὐ δύνῃ, σὺ δὲ δυνάμενος οὐ θέλεις.

φ. 251ε **143** Ὁ αὐτὸς ἔλεγε μεγάλους δεῖν λαμβάνειν μισθοὺς παρὰ ‖ τῶν μαθητῶν τοὺς διδασκάλους, παρὰ μὲν τῶν εὐφυῶν, ὅτι πολλὰ μανθάνουσι, παρὰ δὲ τῶν ἀφυῶν, ὅτι πολὺν κόπον παρέχουσιν.

**144.** Νεανίσκου τινὸς ἐν θεάτρῳ ἐναβρυνομένου καὶ λέγοντος ὡς

22. ποῖα ἐστὶ  29. ἀπόλλοισθε

Σοφός εἰμι πολλοῖς ὁμιλήσας σοφοῖς, εἶπε Κράτης· Κἀγὼ πολλοῖς πλουσίοις, ἀλλὰ πλούσιος οὐκ εἰμι.

**145**. Ὁ αὐτὸς ἔλεγεν οὐ καλὸν ἐν ἀπαιδεύτοις πεπαιδευμένον διαλέγεσθαι, ὥςπερ οὐδὲ νήφοντα μεθύουσιν.

**146**. Οἰνοπίδης, ὁρῶν μειράκιον ἀπαίδευτον πολλὰ βιβλία κτώμενον, ἔφη· Μὴ τῇ κιβωτῷ, ἀλλὰ τῷ στήθει θησαύριζε.

**147**. Ὁ αὐτὸς ἔλεγε τὰ βιβλία τῶν μεμαθηκότων ὑπομνήματα εἶναι, τῶν δὲ ἀμαθῶν μνήματα.

**148**. Λάσος ὁ Ἑρμιονεύς, ἐρωτηθεὶς τί εἴη σοφώτερον, Ἡ πεῖρα, ἔφη.

Ὁ αὐτός, ἀφυοῦς ζωγράφου λέγοντος αὐτῷ Κονίασόν σου τὴν οἰκίαν, ἵνα αὐτὴν ζωγραφήσω, ἔφη· Οὐμενουν, ἀλλὰ πρότερον αὐτὴν ζωγράφησον, ἵνα μετὰ ταῦτα ταύτην ἐγὼ κονιάσω.

**149**. Δημόκριτος εἶπεν· Ὁ μὲν γαμβροῦ ἐπιτυχὼν εὗρεν υἱόν, ὁ δ' ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

**150**. ‖ Ἱέρων, ἐρωτηθεὶς τίς εὐδαίμων, ἔφη· Ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δ' οὐσίαν εὔπορος, τὴν δὲ φύσιν οὐκ ἀπαίδευτος. φ. 252

**151**. Εὐκλείδης, τοῦ ἀδελφοῦ ἐκ διαφορᾶς εἰπόντος Ἀπολοίμην, εἰ μή σε τιμωρησαίμην, Ἐγὼ δ', ἔφη, ἀπολοίμην, εἰ μὴ σπεισαίμην.

**152**. Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ, ἐπιστάντος Ξενοκράτους, λαβὼν τοῦτον, ἔφη· Μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι.

**153**. Ὁ αὐτός, ἐπανατεινόμενός ποτε τῷ παιδὶ τὴν ῥάβδον, λέγεται συχνὸν χρόνον ἑστάναι, μετέωρον ἔχων αὐτήν, καὶ τὴν αἰτίαν ἐρωτώμενος εἰπεῖν· Κολάζω τὸν ἐμαυτοῦ προορμήσαντα θυμόν.

**154**. Ἀρίστιππος θεασάμενός τινα ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα, ἔφη· Μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν.

**155**. Πόπλιος Πείσων, μὴ βουλόμενος ἐνοχλεῖσθαι, προςέταξε τοῖς οἰκέταις πρὸς τὰ ἐρωτώμενα λαλεῖν καὶ μηδὲν πλέον· εἶτα, Κλώδιον ἄρχοντα δεξιώσασθαι βουλόμενος, ἐκέλευσε κληθῆναι, καὶ παρεσκευάσατο λαμπράν, ὡς εἰκός, τράπεζαν. ‖ Ἐνστάσης δὲ τῆς ὥρας, φ. 25 οἱ μὲν ἄλλοι παρῆσαν, ὁ δὲ Κλώδιος προςεδοκᾶτο, καὶ πολλάκις ἔπεμψε τὸν εἰωθότα καλεῖν οἰκέτην ἐποψόμενον εἰ πρόςεισιν. Ὡς δ' ἦν ἑσπέρα, καὶ ἀπέγνωστο, Τί δ', ἔφη πρὸς τὸν οἰκέτην, ἐκάλεσας

2. οὐκ εἰμί 18. σε σπεισαίμην 25. Μεταξὺ τοῦ μὴ καὶ τοὺς κενὸν ὡςεὶ τριῶν γραμμάτων ἐξ ἀποξέσεως τῆς πρότερον γεγραμμένης λέξεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Α. τ.Ι.Ι. ΙΩΑΝΝΙΝΑ 2006

αὐτόν; Ἔγωγε, εἶπε. Διὰ τί οὖν οὐκ ἀφῖκται; Κἀκεῖνος εἶπεν, ὅτι ἠρνήσατο. Πῶς οὖν οὐκ εὐθὺς ἔφρασας; Ὅτι τοῦτό με, εἶπεν, οὐκ ἠρώτησας.

**156**. Μέτελλος ὁ γέρων, ἐρωτώμενός τι τῶν κεκρυμμένων ἐπὶ στρατείας, Εἰ, φησιν, ᾤμην τὸν χιτῶνά μοι συνειδέναι τοῦτο τὸ ἀπόρρητον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ πῦρ ἔθηκα.

**157**. Σωκράτης καθήψατό τινος τῶν συνήθων σφοδρότερον ἐν ταῖς τραπέζαις διαλεγόμενος. Καὶ ὁ Πλάτων Οὐκ ἄμεινον ἦν, ἔφη, ἰδίᾳ ταῦτα λελέχθαι; Καὶ ὁ Σωκράτης εἶπε· Σὺ δ' ⟨εἶπεν⟩ οὐκ ἄμεινον ἂν ἐποίησας ἰδίᾳ πρὸς ἐμὲ ταῦτα εἰπών;

**158**. Σέλευκος ὁ Καλλίνικος, ἐν τῇ πρὸς Γαλάτας μάχῃ πᾶν ἀποβαλὼν τὸ στράτευμα, αὐτοῦ δὲ περισπάσας τὸ διάδημα καὶ φυγὼν μετὰ τριῶν ἢ τεσσάρων, ἀνοδίαις καὶ πλάναις πολὺν ἤδη φ. 253α δρόμον || ἐπλανᾶτο. Ἤδη δὲ δι' ἔνδειαν ἀπαγορεύων, ἐπαυλίῳ τινὶ προσῆλθε, καί, τὸν δεσπότην αὐτοῦ εὑρὼν κατὰ τύχην, ἄρτον καὶ ὕδωρ ᾔτησεν. Ὁ δέ, καὶ ταῦτα καὶ τῶν ἄλλων ὅσα παρῆν ἐν ἀγρῷ δαψιλῶς ἐπιδιδούς, ἐγνώρισε τὸν βασιλέα, καί, περιχαρὴς γενόμενος τῇ συντυχίᾳ, οὐ κατέσχεν, οὐδὲ συνεψεύσατο βουλομένῳ λανθάνειν, ἀλλ' ἄχρι τῆς ὁδοῦ προπέμψας καὶ ἀπολυόμενος Ὑγίαινε, ἔφη, ὦ βασιλεῦ Σέλευκε. Κἀκεῖνος, ἐκτείνας τὴν δεξιὰν αὐτῷ καὶ προσελκόμενος ὡς φιλήσων, ἔνευσεν ἑνὶ τῶν μετ' αὐτοῦ ξίφει τὸν τράχηλον ἀποκόψαι τοῦ ἀνθρώπου. Εἰ δ' ἐσίγησε τότε, καρτερήσας ὀλίγον χρόνον, εὐτυχήσαντος ὕστερον τοῦ βασιλέως καὶ μεγάλου γενομένου, μείζονας χάριτας ἂν ἐκομίσατο ἀντὶ τῆς σιωπῆς ἢ τῆς φιλοξενίας.

**159**. Ἰσοκράτης, ἐρωτηθεὶς διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν, αὐτὸς σιωπᾷ, ἔφη· Καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ.

**160**. Θεόφραστος ὁ περιπατητικὸς φιλόσοφος, ἐν συμποσίῳ νεανίσκον φ. 253β τινὰ βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν· Εἰ μὲν ἀπαίδευτος || ὢν σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις· εἰ δὲ πεπαιδευμένος, ἀπαιδεύτως σιωπᾷς.

**161**. Δημόκριτος, θεασάμενός τινα πολλὰ μέν, ἀπαίδευτα δὲ διαλεγόμενον, Οὗτος, ἔφη, οὐ λέγειν μοι δοκεῖ δυνατός, ἀλλὰ σιωπᾶν ἀδύνατος.

5. χιτῶνα 26. αὐτη 31. θεασάμενος τινὰ 32 (καὶ κατωτέρω σχεδὸν πανταχοῦ) σιωπᾶν

ΕΥ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

**162**. Μειρακίου τινὸς πολλὰ παρὰ πότον ληροῦντος καὶ μὴ δυναμένου σιωπᾶν, εἶπεν ὁ Δημοσθένης· Πῶς παρ' οὗ ἔμαθες λαλεῖν, παρ' αὐτοῦ σιωπᾶν οὐκ ἔμαθες;

**163**. Ἀριστίππῳ λέγοντός τινος, ὅτι διὰ σὲ ὁ ἀγρὸς ἀπώλετο, Οὐκοῦν, ἔφη, κάλλιον δι' ἐμὲ τὸν ἀγρὸν ἢ διὰ τὸν ἀγρὸν ἐμέ.

**164**. Τῷ δὲ Δημοσθένει ἑτέρου τινὸς λέγοντος, ὅτι τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτῷ δὲ σχολάζεις, Τούτου γάρ, ἔφη, ἐπιμελοῦμαι δι' ὃν καὶ τὸν ἀγρὸν ἐκτησάμην.

**165**. Εὐκλείδης ὁ φιλόσοφος, ἐρωτηθεὶς ὁποῖοί τινές εἰσιν οἱ θεοὶ καὶ τίνι χαίρουσι, Τὰ μὲν ἄλλα οὐκ οἶδα, εἶπε, τοὺς μέντοι φιλοπράγμονας ὅτι μισοῦσιν ἀσφαλῶς οἶδα.

**166**. Δημῶναξ, ἐξεταζόντων τινῶν, εἰ ὁ κόσμος ἔμψυχός ἐστι, καὶ ἄλλων, εἰ σφαιροειδής, Ὑμεῖς, εἶπε, περὶ μὲν τοῦ κόσμου πολυ||πρα- φ. 254a
γμονεῖτε, περὶ δὲ τῆς ἑαυτῶν ἀκοσμίας οὐ φροντίζετε.

**167**. Σωκράτης τοὺς πλεονέκτας εἴκαζε ταῖς ὄρνισιν, ὧν ἡ μὲν καταπίνει ὅ τι ἂν προστύχῃ, καὶ ἔστιν ὅτε πνίγεται, αἱ δ' ἄλλαι παρακολουθοῦσιν ἀφελεῖν αὐτὸ σπεύδουσαι, ἵνα παρὰ μέρος πνιγῶσιν.

**168**. Ὁ αὐτὸς ἔλεγε· Τοὺς υἱοὺς δοκοῦσι μᾶλλον ἀγαπᾶν αἱ μητέρες ὡς δυναμένους αὐταῖς βοηθεῖν, οἱ δὲ πατέρες τὰς θυγατέρας ὡς δεομένας αὐτῶν βοηθεῖν.

**169**. Ἀλέξανδρος ὁ βασιλεύς, βαρύ τι ἐπιταττούσης αὐτῷ τῆς μητρὸς Ὀλυμπιάδος, ἔφη· Ὦ μῆτερ, πικρόν με ἐνοίκιον τῆς ἐννεαμήνου μονῆς ἀπαιτεῖς.

**170**. Νασικᾶς, οἰομένων τινῶν καὶ λεγόντων ἐν ἀσφαλεῖ ἔσεσθαι τὰ Ῥωμαίων πράγματα, Καρχηδονίων μὲν ἀνῃρημένων, Ἀχαιῶν δὲ δεδουλωμένων, εἶπεν· Ἐπισφαλῶς ἔχομεν μήτε οὓς φοβηθῶμεν, μήτε οὓς αἰσχυνθῶμεν ἑαυτοῖς ἀπολελοιπότες.

**171**. Ἀντισθένης, ἐρωτηθεὶς τί ἐστιν ἑορτή, εἶπε· Γαστριμαργίας ὑπόθεσις.

**172**. Ὁ δὲ Ζήνων ἔλεγε· Ζῆθι, ὦ ἄνθρωπε, μὴ μόνον ἵνα φάγῃς καὶ πίῃς, ἀλλ' ἵνα τῷ ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ.

**173**. || Κράτης, νεανίαν ἰδὼν ἀθλητικὸν οἴνῳ καὶ κρεωφαγίᾳ πολ- φ. 254c

9. ὁποῖοι τινὲς 12. Δημώναξ 17. παραμέρος 24. Ναυσικᾶς
31. ἵνα τὸ

λὴν σάρκα ὑποτρέφοντα, εἶπε· Παῦσαι, ὦ δαιμόνιε, καθ' ἑαυτοῦ τὸ δεσμωτήριον ποιῶν ἰσχυρόν.

**174.** Βίων, ἔν τινι συμποσίῳ σιωπῶν καὶ σκωπτόμενος εἰς ἀβελτερίαν ὑπό τινος ἀδολέσχου, Καὶ τίς, ἄν, ἔφη, δύναιτο μωρὸς ἐν οἴνῳ σιωπᾶν;

**175.** Ἐν Ἀθήνναις δέ τις, πρέσβεις βασιλικοὺς ἑστιῶν, ἐφιλοτιμήθη συναγαγεῖν εἰς ταὐτὸ τοὺς φιλοσόφους. Χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς συμβουλὰς ἀποδιδόντων, Ζήνωνος δὲ ἡσυχίαν ἄγοντος, Περὶ δὲ σοῦ τί χρὴ λέγειν, ἔφασαν, ὦ Ζήνων, τῷ βασιλεῖ; Κἀκεῖνος Ἄλλο μηδέν, εἶπεν, ἢ ὅτι πρεσβύτης ἐστὶν ἐν Ἀθήναις παρὰ πότον δυνάμενος σιωπᾶν.

**176.** Ἐν συμποσίῳ τινὶ πολλοῦ τῷ Διογένει διδομένου οἴνου, τοῦτον ἐξέχεεν. Ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο, Ἐὰν γάρ, αὐτόν, ἔφη, ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ κἀμὲ προςαπόλλυσιν.

**177.** Ὁ αὐτός, ἰδὼν μειράκιον ἐκστατικὸν καὶ παραφρονοῦν, Ὁ πατήρ, ἔφη, νεανίσκε, μεθύων σε ἔσπειρεν.

φ. 255α **178.** ‖ Πυθαγόρας, ἐρωτηθεὶς ὑπό τινος οἰνόφλυγος, πῶς ἂν τοῦ μεθύειν παύσηται, ἔφη· Εἰ συνεχῶς θεωρεῖ τὰ ὑπ' αὐτοῦ πρασσόμενα.

**179.** Ὁ αὐτὸς ἔλεγε τὴν μέθην εἶναι μανίας μελέτην.

**180.** Ἀνάχαρσις εἶπε, κιρνωμένου κρατῆρος ἐφεστίου, τὸν μὲν πρῶτον ὑγιείας πίνεσθαι, τὸν δὲ δεύτερον ἡδονῆς, τὸν δὲ τρίτον ὕβρεως, τὸν δὲ τέταρτον μανίας.

**181.** Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ, ὅτι μεθύων ἔγραφε, καὶ ἔλεγεν, ὡς εἰ τὰ δέοντα ποιοίη, ἀλλ' οὐκ εἰδώς γε.

**182.** Ξενοκράτης ὁ φιλόσοφος, ἐρωτηθεὶς ποτε περί τινος αἰσχροῦ καὶ μὴ ἀποκρινόμενος, τοῦ δ' ἐρωτῶντος λέγοντος Τί σιωπᾷς; Περὶ τοιούτων, ἔφη, σοὶ μὲν ἐρωτῆσαι, ἐμοὶ δὲ οὐκ ἀποκρίνασθαι προςήκει.

**183.** Δημοκρίτου πρεσβεύοντός ποτε ὑπὲρ Ἀθηναίων πρὸς Φίλιππον καὶ παρρησίᾳ διαλεγομένου, ὁ Φίλιππος Οὐ φοβῇ, μὴ τὴν κεφαλήν, ἔφη, προστάξω ἀφαιρεθῆναι; Οὔ φησιν· ἐὰν γὰρ σύ μου ταύτην ἀφέλῃς, ἡ πατρίς μοι αὐτὴν ἀθάνατον ἀναθήσει.

**184.** Ἰσοκράτης, ἐρωτηθεὶς τίνι οἱ φιλοπονοῦντες τῶν ῥᾳθύμων
φ. 255β διαφέρουσιν, ‖ εἶπεν ὡς εὐσεβεῖς τῶν ἀσεβῶν, ἐλπίσιν ἀγαθαῖς.

3-4. ἀβελτηρίαν 6. ἀθήνησι 7. ταυτὸ 20. τὸ 21. ὑγείας

**185.** Ὁ δὲ Σωκράτης, φιλοπονοῦντα νεανίαν ἰδών, εἶπε· Κάλλιστον ὄψον τῷ γήρᾳ ἀρτύεις.

**186.** Ὁ αὐτὸς ἔλεγε· Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διίστησι, τοὺς δὲ ἀνοήτους ἀνθρώπους ἡ οἴησις.

**187.** Ὁ δὲ Διογένης ἔλεγεν· Ὁ τύφος ὥςπερ ποιμὴν οὐ θέλει τοὺς πολλοὺς ἄγει.

**188.** Ἀριστοτέλης, θεασάμενος νεανίσκον κατωφρυωμένον, μηδὲν δὲ ἐπιστάμενον, Νεανίσκε, ἔφη, οἷος μὲν δοκεῖς αὐτὸς εἶναι ἐγὼ γενοίμην, οἷος δὲ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μοι οἱ ἐχθροὶ γένοιντο.

**189.** Ὁ αὐτὸς νοήσας μειράκιον ἐπὶ πολυτελείᾳ τῆς χλαμύδος σεμνυνόμενον, Οὐ παύσῃ, ἔφη, μειράκιον, ἐπὶ προβάτου σεμνυνόμενος ἀρετῇ;

**190.** Ὁ δέ γε Ἡράκλειτος ἔλεγε τὴν οἴησιν προκοπῆς ἐκκοπήν.

**191.** Ἀριστείδης ὁ δίκαιος, ἐρωτηθεὶς πόσον χρόνον ἄνθρωπον καλὸν ζῆν, ἔφη· Ἕως ἂν ὑπολάβῃ τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον εἶναι.

**192.** Ὁ δὲ τῶν Αἰγυπτίων βασιλεὺς Ἄμασις, παραμυθούμενος φίλον ἀποβαλόντα υἱόν, εἶπεν· Εἰ, ὅτε ἦν, οὐκ ἐλυποῦ, μηδὲ ‖ νῦν, φ. 256a
ὅτε οὐκ ἔσται, λυπηθῇς.

**193.** Διογένης, ὀδυρομένου τινός, ἐπειδὴ ἐπὶ ξένης ἔμελλε τελευτᾶν, εἶπε· Τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν ἡ αὐτὴ ὁδὸς ἐς τὸν Ἅδην.

**194.** Κορίσκος, εὖ μάλα γέρων ὤν, ὡς ἀπό τινος χαλεπῆς νόσου ἀνέρρωσεν, Ἄπαγε, ἔφη· ὡς ἀηδῶς ἀνέστροφα, ἤδη πολὺ τῆς ὁδοῦ προκεκοφώς, ἣν δεῖ πάντως πορευθῆναι.

**195.** Δημόκριτος, νοσήσας καὶ ληθάργῳ περιπεσών, ὡς ἀνένηψεν, Οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωία, καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου.

**196.** Βίας, θεασάμενος μάχαιραν ἐρριμμένην, ἔφη· Τίς σε ἀπώλεσεν ἢ τίνα σύ;

**197.** Ὁ αὐτός, ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπὶ τέκνων ἀπωλείᾳ, ἔφη· Τί αὐτὸν καλεῖς, ὦ ἄνθρωπε· οὐκ, ἂν μὴ καλέσῃς, ἥξει;

**198.** Ὁ αὐτός, ἐρωτηθεὶς ὁποῖος τῶν θανάτων κακός ἐστιν, Ὁ ἀπὸ τῶν νόμων, εἶπεν, ἐπαγόμενος.

**199.** Σωκράτει τινὸς εἰπόντος Τί, Ἀθηναῖοι σοῦ θάνατον κατεψηφίσαντο; ἔφη· Πρὸ αὐτῶν δὲ ἡ φύσις.

9. τοιοῦτοι 17. μήδὲ 19. τελευτᾶν

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

**200.** Ὁ αὐτός, ἐρωτηθεὶς τίνα ἐστὶ τὰ ἐν Ἅδου, εἶπεν· Οὔπω p. 256c ἐγὼ ἐκεῖ πεπόρευμαι, οὔτε ‖ τῶν ἐκεῖσέ τινι συντετύχηκα.

**201.** Διογένης, κοινολογουμένας γυναῖκας θεασάμενος, ἔφη· Ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται.

**202.** Ἡ Φίλωνος γυνή, ἐρωτηθεῖσα ὑπό τινος ἐν συνόδῳ πλειόνων γυναικῶν, διὰ τί μόνη οὐ φορεῖ χρυσοῦν κόσμιον, ἔφη· Αὐτάρκης κόσμος ἐστὶ γυναικὶ ἡ τοῦ ἀνδρὸς ἀρετή.

**203.** Σεκοῦνδος ἔφη· Τριῶν κακῶν τέτευγμαι, γραμματικῆς, πενίης, οὐλομένης γυναικός. Τῶν δύο ἀπήλλαγμαι, οὐλομένης δὲ γυναικὸς ἐκφυγεῖν οὐκ ἴσχυσα.

**204.** Φιλόξενος ὁ ποιητής, εἰπόντος τινὸς διὰ τί ὁ Σοφοκλῆς χρηστὰς παρεισάγει τὰς γυναῖκας, αὐτὸς δὲ φαύλας, εἶπεν, ὅτι Σοφοκλῆς μὲν οἵας εἶναι δεῖ τὰς γυναῖκας λέγει, ἐγὼ δ' οἷαί εἰσιν.

**205.** Ἐρομένου τινὸς Διογένην τί νομίζει τὸ γῆρας, Τοῦ ζῆν, εἶπε, χειμῶνα.

**206.** Ὁ αὐτός, ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν· Εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι, εἰ δὲ πρὸς τοὺς νεκρούς, μὴ βράδυνε.

**207.** Γοργίας, ἐρωτηθεὶς ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν, Οὐδὲν οὐδέπω πρὸς ἡδονήν, ἔφη, οὔτε φαγὼν οὔτε δράσας.

p. 257a **208.** ‖ Ὁ βασιλεὺς Φίλιππος ἤρα Θετταλῆς γυναικός· αἰτίαν δ' ἐχούσης καταφαρμακεύειν αὐτόν, ἐσπούδασεν ἡ Ὀλυμπιὰς λαβεῖν αὐτὴν ὑποχείριον. Ὡς δ' εἰς ὄψιν ἐλθοῦσα τό τε εἶδος εὐπρεπὴς κατεφάνη καὶ διειλέχθη πρὸς αὐτὴν οὐκ ἀγεννῶς οὐδ' ἀσυνέτως, Χαιρέτωσαν, εἶπεν ἡ Ὀλυμπιάς, αἱ διαβολαί· σὺ γὰρ ἐν σεαυτῇ τὸ φάρμακον ἔχεις.

**209.** Φασὶ τὸν Γέλλην τὸ μὲν εἶδος εὐτελῆ παντελῶς γενέσθαι, τὸ δὲ ἦθος θαυμαστόν. Ἀποσταλέντος οὖν πρὸς Κεντοριπηνοὺς κατὰ πρεσβείαν καὶ παρελθόντος εἰς τὴν ἐκκλησίαν, τὸ μὲν πλῆθος ἐξέπεσεν εἰς ἄκαιρον γέλωτα, θεωροῦντες καταδεέστερον τῆς περὶ αὐτοῦ δόξης· ὁ δ' ὑπολαβὼν εἶπε μὴ θαυμάζειν· ἐν ἔθει γάρ ἐστι τοῖς Ἀκραγαντίνοις πρὸς τὰς ἐπιδόξους πόλεις ἀποστέλλειν τοὺς κρατίστους τῷ κάλλει, πρὸς δὲ τὰς ταπεινὰς καὶ λίαν εὐτελεῖς ὁμοίους.

**210.** Διογένης, σεμνυνομένου τινὸς ἐπὶ τῷ κάλλει, Οὐκ αἰσχύνῃ,

2. ἐκεῖσε τινὶ 13. οἷαι εἰσὶν 30. ὁ

ΙΩΑΝΝΙΝΑ 2006

ἔφη, ἐπὶ τῇ ὥρᾳ μέγα φρονῶν, ἣν παρακαταθήκην τοῦ μικροῦ χρόνου ἔχεις;

**211.** Αἴσωπος πρὸς τὸν τῷ κάλλει κακῶς κε||χρημένον εἶπεν· Ὁποῖον ἱμάτιον ἠμφιεσμένος κακῶς αὐτὸ ἀποδύῃ. φ. 257β

**212.** Ὁ αὐτὸς ὀνειδιζόμενος, ὅτι αἰσχρὰν ἔχει τὴν ὄψιν, ἔφη· Μή μου τὸ εἶδος, ἀλλ' εἰς τὸν νοῦν πρόσεχε.

**213.** Ὁ αὐτός, θεασάμενος μειράκιον εὔμορφον καὶ διὰ τοῦτο φιλούμενον, ἔφη· Ὦ μειράκιον, σπούδασον τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὴν ψυχὴν μεταγαγεῖν.

**214.** Διογένης τοὺς εὐειδεῖς καὶ ἀπαιδεύτους ὁμοίους ἔφη εἶναι ἀλαβάστροις ἔχουσιν ὄξος.

**215.** Ἀριστοτέλης, ἐνοχλούμενος ὑπό τινος ἀδολέσχου καὶ κοπτόμενος ἀτόποις τισὶ διηγήμασι καὶ πολλάκις λέγοντος Οὐ θαυμαστὸν τοῦτο, Ἀριστότελες; Οὐ τοῦτο, ἔφη, θαυμαστόν, ἀλλ' εἴ τις πόδας ἔχων σὲ ὑπομένει.

**216.** Ἑτέρῳ δέ τινι τοιούτῳ, μετὰ πολλοὺς λόγους εἰπόντι Κατηδολέσχηκά σου, ὦ φιλόσοφε, Μὰ Δία εἶπεν, ἀλλ' ἐγὼ οὐ προςεῖχον.

**217.** Ἰσοκράτης ὁ ῥήτωρ, τινὸς τῶν πλουσίων ὄντος λάλου καὶ σχολάζειν παρ' αὐτῷ θέλοντος, διττοὺς ᾔτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν πυθομένου, ἕνα μὲν ἔφη, || ἵνα λαλεῖν μάθῃς, τὸν δ' ἕτερον φ. 258α ἵνα σιγᾶν.

**218.** Δημοσθένης ἐν συμποσίῳ πρός τινα πολλὰ λαλοῦντα, Εἰ τοσαῦτα, ἔφη, ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις.

**219.** Νικοκλῆς, κακοῦ τινος ἰατροῦ λέγοντος, ὅτι μεγάλην δύναμιν ἔχει, Πῶς γὰρ οὐ μέλλεις λέγειν, ὃς τοσούτους ἀνῃρηκὼς ἀνεύθυνος γέγονας;

**220.** Ὁ αὐτὸς τοὺς ἰατροὺς εὐτυχεῖς ἔλεγεν, ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ, τὰς δὲ ἀποτυχίας ἡ γῆ καλύπτει.

**221.** Στρατόνικος, ἰατρὸν κολακεύων, ἔλεγεν· Ἐπαινῶ σου τὴν ἐμπειρίαν, ὅτι οὐκ ἐᾷς τοὺς ἀρρώστους κατασήπεσθαι ἐν ταῖς κλίναις, τάχιον αὐτοὺς τοῦ ζῆν ἀπαλλάττων.

**222.** Ἀνάχαρσις ὁ Σκύθης, ἐρωτηθεὶς διὰ τίνα αἰτίαν ἄνθρωποι λυποῦνται διηνεκῶς, ἔφη, ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια κακὰ λυπεῖ, ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά.

7. διατοῦτο 21. σιγᾶς



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**223.** Δίων, ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα, εἶπεν· Ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν ἢ ἄλλῳ μέγα ἀγαθόν.

**224.** Κράτης ἀπείκαζε τοὺς ἀνοήτους τῶν ἀνθρώπων τοῖς τρυπάνοις· ἄνευ γὰρ || φ. 258ε δεσμοῦ καὶ ἀνάγκης μηδὲν ἐθέλειν τῶν δεόντων ποιεῖν.

**225.** Τῶν ἐν Ἀκαδημίᾳ νεανίσκων τις περὶ ἐπιτηδευμάτων διελέγετο ἀφρόνως. Ὁ δὲ Ζήνων ἔφη· Ἐὰν μὴ τὴν γλῶτταν εἰς τὸν νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ ἔτι πλείω ἐν τοῖς λόγοις πλημμελήσεις.

**226.** Δημάδης εἴκαζε τοὺς Ἀθηναίους αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστιν.

**227.** Πλάτων, ἰδὼν μειράκιον εὐγενὲς ἀσώτως τὴν πατρικὴν οὐσίαν ἀναλῶσαν καὶ ἐπὶ θύρας πανδοχείου ἄρτον ἐσθίον καὶ ὕδωρ πίνον, πρὸς αὐτὸ ἔφη· Εἰ οὕτως κατὰ γνώμην ἠρίστας, οὐκ ἂν οὕτως παρὰ γνώμην ἐδείπνεις.

**228.** Διογένης, προσελθὼν τινι μειρακίῳ καταβεβρωκότι τὰ πατρῷα ἀσώτως, ᾔτει αὐτὸν δέκα δραχμάς. Τοῦ δὲ τὴν αἰτίαν ἐρομένου, δι' ἣν παρὰ μὲν τῶν ἄλλων ὀβολὸν λαμβάνει, παρὰ δὲ αὐτοῦ δραχμὰς δέκα αἰτεῖ, εἶπεν, ὅτι Παρὰ μὲν τῶν ἄλλων ἐλπίζω λήψεσθαι καὶ αὖθις, παρὰ σοῦ δὲ οὐκέτι.

φ. 259α **229.** Ζήνων πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ || τῆς ἑαυτῶν ἀσωτίας καὶ λέγοντας ἐκ πολλοῦ τοῦ περιόντος ἀναλίσκειν ἔλεγεν· Ἦ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν.

**230.** Πτολεμαῖος, γραμματικὸν ἐπισκώπτων εἰς ἀμαθίαν, ἠρώτησε τίς ὁ τοῦ Πηλέως πατήρ. Κἀκεῖνος· Ἂν σὺ πρότερος, ἔφη, εἴπῃς τίς ὁ τοῦ Λάγου. Τὸ δὲ σκῶμμα τῆς δυσγενείας ἥπτετο τοῦ βασιλέως. Καὶ οἱ περὶ τὸν βασιλέα ἠγανάκτησαν, ὡς οὐκ ἐπιτήδειον ὄντα χαίρειν. Καὶ ὁ Πτολεμαῖος εἶπεν· Εἰ μὴ τὸ φέρειν σκωπτόμενον, οὐδὲ τὸ σκώπτειν βασιλικόν ἐστιν.

**231.** Αἰσχίνης ὁ ῥήτωρ μετὰ τὸ τῶν Ἀθηναίων αὐτοῦ καταψηφίσασθαι Δημοσθένους αὐτῷ μυρίας ἀττικὰς πέμψαντος καὶ γενναίως τὴν περίστασιν φέρειν παρακαλοῦντος, Καὶ πῶς, ἔφη, δύναμαι μὴ λυπεῖσθαι τοιαύτης ἐκβαλλόμενος πατρίδος, ἐν ᾗ οἱ ἀδικηθέντες καὶ προσωφελοῦσι τοὺς ἀδικοῦντας;

5. τίς  7. πλημελήσεις  11-12. πίνον  12. γνώμης διορθωμένον εἰς γνώμην  23. Πτολομαῖος  29. Αἰσχύνης

**232.** Δημοσθένης, θεασάμενος δημαγωγὸν ἀφυῆ, ‖ μέγα βοῶντα, εἶπεν· Οὐ τὸ μέγα εὖ ἐστιν, ἀλλὰ τὸ εὖ μέγα. φ. 259v

**233.** Ἀλέξανδρος, ἀκούσας, ὅτι Δαρεῖος τριάκοντα μυριάδας εἰς παράταξιν ἄγει, ἔφη· Εἷς μάγειρος οὐ φοβεῖται πολλὰ πρόβατα.

**234.** Ὁ αὐτός, τοῦ κατασκόπου λέγοντος αὐτῷ πλείους εἶναι τοὺς τοῦ Δαρείου, εἶπε· Καὶ τὰ πρόβατα πλείονα ὄντα ὑφ᾽ ἑνὸς ἢ δευτέρου λύκου χειροῦνται.

**235.** Σωκράτους Μενέδημον ἐκ τῆς παλαίστρας εἰς τὴν οἰκίαν παρειληφότος καὶ ἐσθιόντων, ἡ Ξανθίππη, κατὰ τοῦ Σωκράτους δυσχεράνασα καὶ πολλὰ λοιδορουμένη, εἶτα τὴν τράπεζαν ἀνέτρεψεν. Ὡς δ᾽ οὖν ἐκεῖνος περιαλγὴς γενόμενος ἀπῄει, ὁ Σωκράτης, αὐτοῦ λαβόμενος, ἔφη· Ὦ τάν, ποῦ φέρῃ; Οὐ παρὰ σοὶ δειπνοῦντος ἐμοῦ πρότριτα ὄρνις καθιπταμένη τὴν τράπεζαν ἀνέτρεψε, καὶ ἡμεῖς οὐκ ἠχθόμεθα;

**236.** Ἐπίκουρος ἔλεγε πρὸς μὲν τἆλλα δυνατὸν ἀσφάλειαν πορίσασθαι, χάριν δὲ θανάτου πάντες πόλιν ἀτείχιστον οἰκοῦμεν.

**237.** ‖ Φαβίῳ τοῦ υἱοῦ εἰπόντος Συμμίξωμεν Ἀννίβᾳ καὶ ἑκατὸν πάντως οὐκ ἀποβαλοῦμεν, ἔφη· Βούλει δὲ τῶν ἑκατὸν εἶναι σύ; φ. 260r

**238.** Ἀριστοτέλης ὁ Κυρηναῖος, ἐρωτηθείς, εἰ ὁ ἔρως ἕνεκεν συνουσίας γίνεται, Οὔτ᾽ ἔφη διὰ τοῦτο, οὔτ᾽ ἄνευ τούτου.

**239.** Γλαύκων ὁ κωμῳδὸς ἥδιον ἔλεγε περὶ τὴν θάλατταν πεζεύειν ἢ περὶ τὴν γῆν πλεῖν.

**240.** Ζήνων ὁ Στωικός, ὁρῶν τινα γνώριμον ὑπὸ τοῦ ἀγροῦ περισπώμενον, εἶπεν· Ἐὰν μὴ τοῦτον ἀπολέσῃς, οὗτος σὲ ἀπολέσει.

**241.** Ἀντισθένης ἔλεγεν, ὅτι πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ παρεῖναι πλὴν ἀνδρείας· γίνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων.

**242.** Δημάδης, ληφθεὶς αἰχμάλωτος ἐν τῇ κατὰ Χαιρώνειαν μάχῃ ὑπὸ Φιλίππου καὶ ἐρωτώμενος ποῦ ἡ εὐγένεια καὶ ὑπεροχὴ τῆς Ἀθηναίων πόλεως, Ἔγνως, ἄν, ἔφη, ὦ βασιλεῦ, τὴν τῆς πόλεως δύναμιν, εἰ Ἀθηναίων μὲν Φίλιππος, Μακεδόνων δὲ Χάρης ἐστρατήγει.

**243.** Ἀννίβας, Στωικοῦ τινος ἐπιχειροῦντος λέγειν, ὅτι ὁ σοφὸς μόνος στρατηγός ἐστιν, ‖ ἐγέλασε, νομίζων ἀδύνατον εἶναι ἐκτὸς τῆς δι᾽ ἔργων ἐμπειρίας τὴν ἐπὶ τούτοις ἐπιστήμην σχεῖν. Πρὸς δὲ τὸν φ. 260v

15. τἆλλα 20. διατοῦτο 24. σε 26. ἀνδρίας

ΙΩΑΝΝΙΝΑ 2006

ὑπισχνούμενον τὰ τακτικὰ διδάξειν, ἐν δὲ παρατάξει οὐδέποτε γεγονότα, οὐκ ἔφη δεῖσθαι ἀπερισαλπίγκτου στρατηγοῦ.

**244.** Τιμόθεος πρὸς τὸν ἐρόμενον ᾧ διαφέρει στρατηγικὴ ῥητορικῆς· Ὦ πόλεμος, ἔφη, εἰρήνης.

**245** Ἀναξίλαος ὁ τύραννος, ἐρωτηθεὶς τί τῆς τυραννίδος μακαριώτερον, ἔφη· Τὸ μηδέποτε εὐεργετοῦντα νικηθῆναι.

**246** Ξενοφῶν ὁ σωκρατικὸς φιλόσοφος ἔφη βασιλεῖ κάλλιον εἶναι χαρίτων ἀπολείπειν ἢ τροπαίων πλῆθος.

**247.** Κότυς ὁ τῶν Θρᾳκῶν βασιλεὺς πικρὸς ἦν τῶν ὑπηκόων κολαστής. Τῶν οὖν φίλων τις πρὸς αὐτὸν εἶπε· Μανία τοῦτό ἐστι καὶ οὐ βασιλεία. Καὶ ὃς· Ἀλλ' ἡ ἐμὴ αὕτη μανία, εἶπε, τοὺς ἀρχομένους σώφρονας ποιεῖ

**248.** Ὁ μὲν Σόλων ἔφη· Μάλιστ' ἂν ἔνδοξος βασιλεὺς γένοιτο καὶ τύραννος, εἰ δημοκρατίαν ἐκ βασιλείας κατασκευάσεται τοῖς πολίταις. φ. 261α Ὁ δὲ Βίας· Εἰ τρόποις ‖ χρῷτο καὶ νόμοις τῆς πατρίδος. Ὁ δὲ Θαλῆς ἔφη· Εὐδαιμονία ἄρχοντος, εἰ κατὰ φύσιν γηράσας τελευτήσειεν. Ὁ δὲ Ἀνάχαρσις· Εἰ μόνος εἴη φρόνιμος. Ὁ δὲ Κλεόβουλος· Εἰ μηδενὶ πιστεύοι τῶν συνόντων. Ὁ δὲ Πιττακὸς εἶπεν· Εἰ τοὺς ὑπηκόους παρασκευάσει μὴ φοβεῖσθαι αὐτόν, ἀλλ' ὑπὲρ αὐτοῦ. Ὁ δὲ Χίλων· Εἰ μὴ μόνον τοῦ φοβερὸς εἶναι φροντίζει.

**249.** Ἀντισθένης τοὺς δημίους ἔλεγε τῶν τυράννων εὐσεβεστέρους εἶναι. Πυθομένου δέ τινος τὴν αἰτίαν ἔφη· Ὅτι ὑπὸ τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται, ὑπὸ δὲ τῶν τυράννων οἱ μηδὲν ἁμαρτάνοντες.

**250.** Σόλων ἔφη· Ἐκείνη δοκεῖ μοι πόλις ἄριστα πράττειν καὶ μάλιστα σώζειν δημοκρατίαν, ἐν ᾗ τὸν ἀδικήσαντα ἡ πόλις μᾶλλον ἢ ὁ ἀδικηθεὶς κολάζουσιν. Βίας δὲ κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον. Θαλῆς δὲ τὴν μήτε πλουσίους ἄγαν μήτε πένητας ἔχουσαν πολίτας. Περίανδρος δ' ἐν ᾗ, τῶν φ. 261β ἄλλων ἴσων ὁρι‖ζομένων, ἀρετῇ τὸ βέλτιον νομίζεται, κακίᾳ δὲ τὸ χεῖρον. Κλεόβουλος δὲ σωφρονεῖν ἔφη δῆμον, ὅταν τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν ἢ τὸν νόμον. Πιττακὸς δ' ὅπου τοῖς πονηροῖς οὐκ ἔξεστιν ἄρχειν. Χίλων δὲ ἀπεφήνατο τὴν μάλιστα μὲν νόμων, ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι.

**251.** Ἤτησέ ποτε Διογένης Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχά-

10. τίς   τοῦτο ἐστὶ   16 (καὶ 27). θαλλῆς

δων τρεῖς· ὡς δὲ ὁ Πλάτων μέδιμνον ἀπέστειλεν, Οὕτως, ἔφη, καὶ ἀποκρίνῃ ἓν ἐρωτηθεὶς πολλά;

**252**. Κλεάνθους σιωπῶντος, ἐπεί τις ἔφη Τί σιωπᾷς; καὶ μὴν ἡδὺ τοῖς φίλοις ὁμιλεῖν. Ἡδύ, ἔφη, ἀλλ' ὅσον ἥδιον τοσόνδε μᾶλλον αὐτὸ τοῖς φίλοις παραχωρητέον.

**253**. Διογένης πρός τινα, φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δ' ἐριστικῶς, Κακοδαίμων, ἔφη, τῷ βελτίονι τῶν ἐν τῷ βίῳ τοῦ φιλοσοφεῖν λυμαινόμενος, τῷ λόγῳ φιλοσοφεῖν φῄς;

**254**. Αἰσχύλος, ἐν Ἰσθμῷ πυκτικὸν ἀγῶνα θεώ||μενος καὶ ἐπὶ τῇ φ. 262a
πληγῇ τοῦ θεάτρου ἐμβοήσαντος, πρὸς Ἴωνα ἔφη· Ὁρᾷς οἷον ἡ ἄσκησις; Ὁ μὲν πεπληγμένος σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσιν.

**255**. Συβαρίτης, ἐπιδημήσας Λακεδαίμονι καὶ τὰ ἔθη ἰδὼν καὶ τὰς καρτερήσεις αἷς ἐκ παίδων ἀνατρέφονται, Οὐδὲν ἔφη θαυμαστὸν αὐτοὺς ποιεῖν ῥᾳδίως ἐν τοῖς πολέμοις ἀποθνήσκοντας ὑπὲρ τοῦ μὴ οὕτως ζῆν.

**256**. Σωκράτης Ἀλκιβιάδην, ἐπὶ πλούτῳ καὶ περιουσίᾳ καὶ ἔτι πλέον ἐπὶ τοῖς ἀγροῖς σεμνυνόμενον, ἤγαγεν εἴς τινα τόπον τῆς πόλεως, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξεν αὐτῷ τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δ' εὗρε, προσέταξεν αὐτῷ καὶ τοὺς ἰδίους ἀγροὺς εὑρεῖν. Τοῦ δὲ εἰπόντος Ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσίν, Ἐπὶ τούτοις οὖν μέγα φρονεῖς, εἶπεν, οἵ γε οὐδὲν μέρος τῆς γῆς εἰσιν;

**257**. Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους ἐνίκησε Φίλιππος. Ἐπαρθεὶς
οὖν ἐπ' εὐτυχίᾳ, ὅμως λογισμοῦ ἐκράτησε καὶ οὐχ ὕβρισε||, καὶ ἐκέλευ- φ. 362b
σεν ἑνὶ τῶν παίδων ἕωθεν ἀνισταμένῳ λέγειν Φίλιππε, ἄνθρωπος εἶ.

**258**. Δημῶναξ, ἐρωτηθεὶς παρά τινος ὁπηνίκα φιλοσοφεῖν ἤρξατο, Ὅτε καταγινώσκειν, ἔφη, ἐμαυτοῦ ἠρξάμην.

**259**. Πλάτων, ὀργισθείς ποτε δούλῳ, χάριν ἔχειν τοῖς θεοῖς ἐκέλευσεν αὐτόν, ὅτι ὀργίζεται· κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο. Λοιδορούμενος δὲ αὖθις ὑπό τινος, Λέγε, ἔφη, κακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες.

**260**. Λυκοῦργος, πηρωθεὶς ὑπό τινος τῶν πολιτῶν τὸν ἕτερον τῶν ὀφθαλμῶν καὶ παραλαβὼν τὸν νέον ὑπὸ τοῦ δήμου, ἵνα τιμωρήσηται ὡς βούλεται, τούτου μὲν ἀπέσχετο, παιδεύσας δὲ αὐτὸν καὶ ἀποφη-

13. οἷς 22. εἰσιν 26. Δημῶναξ

Ε. Γ. Λίτσας κτ. II ΙΩΑΝΝΙΝΑ 2006

νας ἄνδρα ἀγαθόν, παρήγαγεν εἰς τὸ θέατρον. Θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων, Τοῦτον μέντοι λαβών, ἔφη, παρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ πολιτικόν.

**261**. Φωκίων, τῆς γυναικὸς αὐτοῦ προπηλακισθείσης, τοσοῦτον φ. 263α ἐδέησεν ἐγκαλεῖν τῷ προπηλακίσαντι, ὥςτε, ἐπειδή, ‖ δείσας ἐκεῖνος, προςῆλθέ τε καὶ συγγνώμην ἔχειν ἠξίου τὸν Φωκίωνα, φάσκων ἠγνοηκέναι, ὅτι ἦν ἐκείνου γυνή, εἰς ἣν ἐπλημμέλει, Ἀλλ' ἥ γε ἐμὴ γυνή, Φωκίων εἶπεν, οὐδὲν ὑπὸ σοῦ πέπονθεν, ἑτέρα δέ τις ἴσως, ὥςτε οὐδ' ἐμοὶ καλόν ἐστί σε ἀπάγειν εἰς τὸ δικαστήριον.

**262**. Σωκράτης, δημοσίᾳ λοιδορηθεὶς ὑπ' Ἀριστοφάνους, οὐχ ὅπως οὐκ ἠγανάκτησεν, ἀλλὰ καί, ἐντυχὼν αὐτῷ, ἠξίου, εἰ καὶ πρὸς ἄλλο τι βούλοιτο τοιοῦτον χρῆσθαι αὐτῷ.

**263**. Φωκίωνι ὁ παῖς πλείω τῶν εἰωθότων ὄψων ἐπρίατο. Ὁ δὲ Οἰμώξῃ, ἔφη, ἐὰν τοῦ φαγεῖν πλεῖον τὸ ἐπιφαγεῖν παρασκευάσῃς.

**264**. Ἑορτῆς οὔσης παρ' Ἀθηναίοις, ἐφιλοτιμήσατο Ἀλκιβιάδης πολλὰ δῶρα πέμψαι Σωκράτει. Τῆς οὖν Ξανθίππης καταπλαγείσης καὶ ἀξιούσης τὸν Σωκράτην λαβεῖν αὐτά, ἔφη· Ἀλλὰ καὶ ἡμεῖς τῇ τοῦ Ἀλκιβιάδου φιλοτιμίᾳ παραταξόμεθα, μὴ λαβεῖν αὐτὰ ἀντιφιλοτιμησάμενοι.

φ. 263β **265**. ‖ Ὁ αὐτὸς Σωκράτης, ἐρωτηθεὶς τίνι τῶν ἀνθρώπων διαφέρει, εἶπε· Καθ' ὅσον οἱ μὲν λοιποὶ ζῶσιν ἵνα ἐσθίωσιν, ἐγὼ δὲ ἐσθίω ἵνα ζῶ.

**266**. Ὁ αὐτὸς ἔφη· Πλούσιος ἄν τις γένοιτο, εἰ τῶν ἐπιθυμιῶν ἔσται πένης.

**267**. Πυθαγόρας ἔλεγε τὴν μέθην μανίας μελέτην, ὁ δὲ Χρύσιππος μικρὰν μανίαν.

**268**. Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν, ἀφ' ὧν ἄνθρωπον μηδὲν λαμβάνειν, κόρακας δὲ καὶ ἰκτίνους, ὥςτε παρὰ τούτων ἑταίρας καὶ κόλακας.

**269**. Ἀνήρ, ἄνδρα ἰδὼν ἀργύριον ἀναιρούμενον πολύ, ἐδεῖτο δανεῖσαί οἱ ἐπὶ τόκῳ. Ὁ δὲ οὐκ ἐπείθετο· φέρων δὲ κατορύξας ἀπέθετο, καί τις ἰδὼν ὑφείλετο. Ὁ δὲ καταθέμενος, ὡς οὐχ εὕρηκε τὰ χρήματα, ἀνωλοφύρετο ἐπὶ τῇ συμφορᾷ καὶ ὅτι οὐκ ἔχρησεν αὐτὰ ἐπὶ τόκῳ. Ἐντυχὼν δὲ τῷ ζητοῦντι Ἀπώλετο, ἔφη, τὸ ἀργύριον. Ὁ δὲ

6. προσῆλθε τὲ 7. ἐπλημέλει 9. ἐστι σὲ 12. ἄλλό

αὐτὸν ἐκέλευσε μὴ φροντίζειν, ἀλλὰ νομίζειν ἑαυτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον ἐς τὸ αὐτὸ χωρίον, Πάντως οὐδ' ‖ ὅτε φ. 264ª ἦν σοι ἐχρῶ αὐτῷ, μηδὲ νῦν ἀπολέσας νόμιζε στέρεσθαι μηδενός, εἰπών.

**270**. Σωκράτης ἔλεγεν, ὅτι οἱ μὲν κυνηγοὶ θηρεύουσι κυσὶ τοὺς λαγωούς, τοῖς δ' ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί· καὶ οἱ μὲν λύκοι τοῖς κυσίν, οἱ κόλακες δὲ τοῖς φίλοις εἰσὶν ὅμοιοι, καὶ ἀνομοίων ἐπιθυμοῦσιν.

**271**. Διογένης ὁ κύων ἔλεγεν· Οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

**272**. Ὁ αὐτὸς ἤρετο Πλάτωνα, εἰ Νόμους γράφει. Ὁ δὲ Πλάτων ἔφη Ναί. Τί δέ; Πολιτείαν ἔγραψας; Πάνυ μὲν οὖν. Τί οὖν, ἡ Πολιτεία νόμους οὐκ εἶχεν; Εἶχεν, ὁ Πλάτων ἀπεκρίνατο. Τί οὖν ἔδει σε πάλιν Νόμους γράφειν; ὁ Διογένης εἶπεν.

**273**. Ὁ αὐτός, Ἀντισθένει παραβάλλων ἐνίοτε, ἤλεγχεν ὡς πολὺ μαλακωτέρῳ πρὸς τοὺς λόγους, καὶ ἔφη αὐτὸν σάλπιγγα λοιδόρων εἶναι, φθεγγόμενον μὲν μέγιστον, αὐτοῦ δὲ οὐκ ἀκούοντα. Καὶ ὁ Ἀντισθένης, Διογένην ἀμυνόμενος, ἀντὶ τῆς σάλπιγγος ἔλεγε ταῖς σφηξὶν ὅμοιον αὐτὸν εἶναι· καὶ γὰρ τῶν σφηκῶν τὸν ‖ ψόφον τῶν φ. 264ᵇ πτερῶν εἶναι μικρόν, τὸ δὲ κέντρον δριμύτατον.

**274**. Δημόκριτος, κλέπτην ἰδὼν ὑπὸ τῶν ἕνδεκα ἀπαγόμενον, Ἄθλιε, εἶπε· τί γὰρ τὰ μικρὰ ἔκλεπτες, ἀλλ' οὐ τὰ μεγάλα, ἵνα καὶ σὺ ἄλλους ἀπῆγες;

**275**. Ἱπποκράτην ἔπειθέ τις πρὸς Ξέρξην ἀπᾶραι, χρηστὸν φάσκων εἶναι βασιλέα. Ὁ δὲ Οὐ δέομαι, ἔφη, χρηστοῦ δεσπότου.

**275ª**. Δημοσθένης πρὸς κλέπτην εἰπόντα, ὅτι Οὐκ ᾔδειν, ὅτι σόν ἐστιν, Ὅτι δέ, ἔφη, σὸν οὐκ ἔστιν οὐκ ᾔδεις;

**276**. Τιμόθεος ὁ Κόνωνος πρὸς Ἀριστοφῶντα, ἄσωτον ὄντα, πικρότατα καθικόμενος, εἶπεν· Ὦ ἱκανὸν οὐδέν, τούτῳ γε αἰσχρὸν οὐδέν.

**277**. Ἀνὴρ εἰς Λακεδαίμονα Κῖος ἀφίκετο, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τὴν τρίχα, καὶ πολιὰν οὖσαν βαφῇ ἐπειρᾶτο ἀφανίζειν. Παρελθὼν οὖν εἶπεν ἐκεῖνα, ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς δὲ Ἀρχίδαμος, Τί ἄν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;

3. μηδὲ 18. σφηγξίν.

ΙΩΑΝΝΙΝΑ 2006

φ. 265α **278**. Σιμωνίδης, ἐρωτηθεὶς τί δή ποτε, πρὸς ‖ ἔσχατον γῆρας ἥκων, φιλάργυρος εἴη, Ὅτι, εἶπε, βουλοίμην ἂν μᾶλλον ἀπολιπὼν τοῖς ἐχθροῖς ἀπολιπεῖν ἢ ζῶν δεῖσθαι τῶν φίλων.

**279**. Διογένης, ἰδών τινα πλουσίας γραὸς προςποιούμενον ἐρᾶν, ἔφη, ὅτι οὗτος ταύτῃ οὐ τὸν ὀφθαλμόν, ἀλλὰ τὸν ὀδόντα ἐπιβέβληκεν.

**280**. Ὁ αὐτὸς ἔλεγεν, ὡς οἱ φιλάργυροι, καθ' ἅπερ μαχαίρᾳ τῷ βίῳ χρῶνται, πάντα ποιοῦντες κατὰ τὴν λαβήν.

**281**. Ζήνων ὁ Ἐλεάτης, ὑπὸ τυράννου στρεβλούμενος, ὅπως εἴποι τοὺς συνωμότας, Εἰ γὰρ ἦσαν, εἶπεν, ἐτυράννεις;

**282**. Ὁ αὐτός, ὡς δὴ γέρων ὢν προςπταίσας κατέπεσεν, Ἔρχομαι εἶπε· τί με ἄγεις; Καί, εἰςελθὼν εἰς τὴν οἰκίαν, ἑαυτὸν ἐξήγαγεν.

**283**. Διογένης, ὁρῶν Μεγαρέας τὰ Μακρὰ τείχη ἱστῶντας, Ὦ μοχθηροί, εἶπε· μὴ τοῦ μεγέθους προνοῆτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτοῖς στησομένων.

**284**. Ξενοφῶντι ἐστεφανωμένῳ καὶ θύοντι ἀπήγγειλέ τις Γρύλλον φ. 265β τὸν υἱὸν περὶ Μαντίνειαν πολεμοῦντα ἀνῃρῆσθαι. ‖ Ὁ δ', ἀποθέμενος τὸν στέφανον, ἤρετο ὅπως ἀγωνιζόμενος τελευτήσειε. Τοῦ δὲ εἰπόντος Ἄριστα, ἐπιθέμενος τὸν νικητήριον στέφανον, αὖθις ἔθυσεν.

**285**. Ἐρασίστρατος ὁ Χῖος, ἤδη γηραιὸς ὤν, ἕλκος ἐπὶ τοῦ ποδὸς δυσίατον ἔχων, Εὖγε, εἶπεν, ὅτι τῆς πατρίδος ὑπομιμνήσκομαι, καί, κώνειον πιών, κατέστρεψεν.

**286**. Σωκράτης, μέλλων τελευτᾶν, ὄμματι καὶ σχήματι καὶ βαδίσματι φαιδρὸς ἀπῄει. Ὡς δ' ᾔσθετο τοὺς παρεπομένους δακρύοντας, Τί τοῦτο, εἶπεν; ἄρτι δακρύετε; οὐ γὰρ πάλαι ἴστε, ὅτι ἐξ ὅτου παρεγενόμην, κατεψηφισμένος ἦν μου ὑπὸ τῆς φύσεως ὁ θάνατος;

**287**. Φίλιππος ἧκεν ἐπὶ Λακεδαίμονα, καὶ στρατοπεδεύσας ἔπεμψεν ἀπειλῶν πολλὰ μὲν καὶ χαλεπά, εἰ μὴ ποιήσουσι τὰ προςταττόμενα. Τῶν δὲ Λακεδαιμονίων τις ἀκούσας τῶν ἀπειλῶν χάριν αὐτῷ ἔφη εἰδέναι, ὅτι οὐ κωλύει ὃ ἐπὶ τοῖς μαχομένοις ἐστίν, ἀποθανεῖν.

**288**. Ἀλέξανδρον τὸν Φεραίων τύραννον Θήβη ἀπέκτεινεν ἡ γυνή. φ. 266α Συνέβη δὲ ‖ θεωροὺς ἥκοντας αὐτῶν κελεῦσαι αὐτοῖς εἰπεῖν τὸν Ἄμμωνα Ἥβης ἱερὸν ἱδρύσασθαι. Τῶν δὲ πρεσβυτέρων τις παρακοῦσαι

4. ἐρᾷν 6. καθάπερ 8. ἐλαιάτης 15. τι[ε] 16. δ 22. τελευτᾷν 24. ἐξότου 28. τίς 30. φερραίων 32. τίς

αὐτοὺς ἔφη· τὸν γὰρ Ἄμμωνα Θήβης εἰπεῖν τῆς ἐξελομένης ἐκ τῆς δουλείας αὐτούς.

**289.** Ξέρξης, μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας, πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν. Ἀθηναῖοι δὲ συγκεχυμένοι σκοπὸν ἔστειλαν Ἀγησίλαον τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. Καί, παραγενόμενος εἰς τοὺς βαρβάρους ἐν σχήματι περσικῷ, Μαρδόνιον, ἕνα τῶν σωματοφυλάκων, ἀνεῖλεν, ὑπολαβὼν Ξέρξην εἶναι. Συλληφθεὶς δὲ ὑπὸ τῶν δορυφόρων, πρὸς βασιλέα δέσμιος ἤχθη. Ὁ δὲ ἐβουθύτει τῷ ἡλίῳ· καί, θεὶς ἐπὶ τῷ βωμῷ τὴν χεῖρα ὁ Ἀγησίλαος τὴν δεξιάν, ἀστένακτος ὑπέμεινε τὴν ἐκ τοῦ πυρὸς ὀδύνην, καὶ τῶν δεσμῶν ἀνείθη. Καί, στραφεὶς πρὸς τὸν Ξέρξην, εἶπε· βασιλεῦ, || τοιοῦτοι πάντες Ἀθηναῖοί ἐσμεν· εἰ δὲ ἀπιστεῖς, φ. 266v
καὶ τὴν ἀριστερὰν ἐπιθήσω. Ὅθεν φοβηθεὶς ὁ Ξέρξης φρουρεῖσθαι τὸν Ἀγησίλαον προσέταξεν.

**290.** Φάλαρις, Περισθένους τὴν Εὐβούλου καὶ τὴν Ἀριστοφάντου γυναῖκα τῶν ἐπιβουλευσάντων αὐτῷ πέμψαντος ὡς ἀπολουμένας, ἐπεὶ ἤρετο, εἰ συνῄδεισαν τὴν ἐπιβουλὴν τοῖς ἀνδράσιν, αἱ δὲ ἔφασαν οὐ τοῦτο μόνον, ἀλλὰ καὶ παροτρῦναι τυραννοκτονῆσαι. Καὶ αὖθις, ἐρομένου τοῦ Φαλάριδος Ἀνθ' οἵου κακοῦ, αἱ δὲ εἶπον· Οὐδενὸς μὲν ἰδίου, τῆς δὲ κοινῆς ἀδικίας· κοινὴ γὰρ τὸ καταδουλοῦσθαι πόλιν ἐλευθέραν. Εἶτ' αὖθις ἐπανερομένου Ὑμεῖς δὲ τί πεπόνθατε; τοιγαροῦν δίκην ἀποτίσαιτ' ἂν μοι τοῦ μίσους τὴν κατ' ἀξίαν, αἱ δὲ προσέθηκαν Ἀποθανοῦσαι, ὑφῄρηκε τῆς ὀργῆς, ἀγασθεὶς τὸ ὑπερβάλλον τῆς εὐγενείας ἐν ταῖς ἀποκρίσεσι, καὶ ζῆν μᾶλλον ἢ τεθνάναι κρίνας τὰς μετὰ τοιαύτης ἀρετῆς ἀποθνήσκειν προῃρημένας.

**291.** Σοφοκλῆν ἤρετό τις, πρεσβύτην ὄντα, || εἰ ἔτι πλησιάζοι φ. 267r
γυναικί. Ὁ δ' ἔφη· Εὐφήμει· ἀσμενέστατα ἀπέφυγον ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην.

**292.** Σωκράτης ἔφη τοὺς μοιχοὺς ὅμοιόν τι ποιεῖν τοῖς μὴ βουλομένοις ἐκ τῶν ἀπορρεουσῶν πίνειν πηγῶν, ἀλλ' ἐκ τοῦ ὕδατος τοῦ ἐν τῷ βάθει, χείρονος ὄντος.

6. κατόναρ 13. ἀθηναῖοι ἐσμέν 16. Φάλλαρις ἀριστοφάντους 19. παροτρύναι 20. φαλάριδος (λ supra) 23. καταξίαν προσέθησαν 28. δ

Ε.Λ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**293**. Ξενοκράτης, χρημάτων αὐτῷ κομισθέντων ὑπ' Ἀλεξάνδρου, εἱστίασε τοὺς κομίζοντας τὸν αὐτοῦ τρόπον. Εἶτα Ἀπαγγείλατε, ἔφη, Ἀλεξάνδρῳ, ὅτι ἔςτ' ἂν οὕτω ζῶ, οὐ δέομαι ταλάντων πεντήκοντα· τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.

**294**. Εὐριπίδης εὐδοκίμησεν ἐν θεάτρῳ, εἰπὼν Τί γ' αἰσχρὸν ἂν μὴ τοῖς γε χρωμένοις δοκῇ; Καὶ Πλάτων, ἐντυχὼν αὐτῷ, Εὐριπίδη, ἔφη, αἰσχρόν τό γ' αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ.

**295**. Ἀλέξανδρον προτρεπομένων τινῶν ἰδεῖν τὴν Δαρείου γυναῖκα διαφέρουσαν κάλλει, Αἰσχρόν, εἶπε, τοὺς ἄνδρας νικήσαντα ὑπὸ γυναικῶν ἡττηθῆναι.

**296**. Φωκίωνος γυνὴ πρὸς τὴν ἐπιδεικνυμένην αὐτῇ τὸν κόσμον
φ. 267β χρυσοῦν ὄντα ‖ καὶ διάλιθον, Ἐμοί, ἔφη, κόσμος ὑπέρλαμπρός ἐστι Φωκίων πένης ὢν καὶ εἰκοστὸν τοῦτο ἔτος ἤδη Ἀθηναίων στρατηγῶν.

**297**. Ἐπαμινώνδᾳ πρέσβεις ἧκον παρὰ βασιλέως χρυσίον κομίζοντες. Ὁ δὲ αὐτοὺς εἰς ἄριστον εἰςεδέξατο· ᾔδει γὰρ ἐφ' ᾧ τινι ἧκον· καὶ αὐτοὺς ἐκέλευσεν ἀριστῆσαι πρότερον, εἶτα λέγειν περὶ ὅτου βούλοιντο. Παρακειμένης δὴ τραπέζης φαύλης, καὶ ὀξύνην ἔπινον. Οἱ μὲν οὖν οὐκ εἶχον ὅ τι εἴποιεν ἐπὶ τούτοις. Ὁ δὲ μειδιάσας Ἄπιτε, ἔφη, καὶ λέγετε δεσπότῃ τῷ ὑμετέρῳ οἷα ἀριστῶ ἄριστα, καὶ συνήσει ὡς οὐκ ἂν προδοίη τις τοιούτοις ἀρκούμενος.

**298**. Κράτης, ἐς τὴν ἀγορὰν ἐμβαλὼν καὶ ὁρῶν τοὺς μὲν πιπράσκοντας, τοὺς δὲ ὠνουμένους, Οὗτοι, ἔφη, διὰ τὸ ἐναντίον πρᾶγμα ἀλλήλους μακαρίζουσιν, ἐγὼ δ' ἐμαυτόν, ὅτι ἀμφοτέρων ἀπήλλαγμαι, μήτε ὠνούμενος μήτε πωλῶν.

**299**. Περίανδρος, ἐρωτηθεὶς τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε Φρένες ἀγαθαὶ ἐν ἀνθρώπου σώματι.

φ. 268α **300**. Δίων ἔλεγε τοὺς γραμματικούς, ζητοῦντας ‖ περὶ τῆς Ὀδυσσέως πλάνης, τὴν ἰδίαν μὴ καθορᾶν, ὅτι καὶ ἐν αὐτῷ τούτῳ πλανῶνται, πονοῦντες περὶ τὰ μηδὲν χρήσιμα.

**301**. Θεόκριτος γραμματοδιδασκάλῳ φαύλως ἀναγινώσκοντι προςελθὼν εἶπε· Διὰ τί γεωμετρεῖν οὐ διδάσκεις; Τοῦ δὲ εἰπόντος Οὐκ οἶδα, Καὶ τίς τοῦτ' εἶπεν; οὐδὲ γὰρ ἀναγινώσκειν.

**302**. Διογένους ἐν τῇ Στοᾷ περιπατοῦντος ἀνάπαλιν κατεγέλων

6. γέ 12. ὑπέρλαμπρος ἐστι 17. ὀξίνην 20. τίς 31. διατί

τινές. Ὁ δὲ Οὐκ αἰσχύνεσθε, εἶπεν, ὑμεῖς τὴν ἐν τῷ βίῳ ὁδὸν ἀνάπαλιν πορευόμενοι ἐμοῦ τὴν ἐν τῷ περιπατεῖν κατεγνωκότες;

**303**. Ὁ μὲν Στίλπων, ἐρωτηθεὶς τί ἰσχυρότερον ἀνδριάντος, Ἄνθρωπος, εἶπεν ἀναίσθητος. Ὁ δὲ Κλεάνθης τοὺς ἀπαιδεύτους εἶπε τῶν ἀνθρώπων μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν. Ὁ δὲ Φαβωρῖνος τοὺς ἀνθρώπους ἔφη πῇ μὲν εἶναι γελοίους, πῇ δὲ ἐλεεινούς, πῇ δὲ μισητούς, γελοίους μὲν θρασύτητι μειζόνων ὀρεγομένους, μισητοὺς δὲ ἐπιτυχόντας, ἐλεεινοὺς ἁμαρτάνοντας, ζηλωτοὺς δὲ οὐδεπώποτε.

**304**. ‖ Ἀρίων ὁ Χῖος τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονουμέ- φ. 268r
νους, ἀμελοῦντας δὲ φιλοσοφίας ἔλεγεν ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἳ ἀποτυγχάνοντες ἐκείνης περὶ τὰς θεραπαίνας ἐγίνοντο.

**305**. Ὁ αὐτὸς τοὺς πολλοὺς εἴκαζε τῷ Λαέρτῃ, ὃς τῶν κατ' ἀγρὸν ἐπιμελούμενος πάντων ὀλιγώρως εἶχεν ἑαυτοῦ· καὶ γὰρ καὶ τούτους τῶν κτημάτων πλείστων ἐπιμέλειαν ποιουμένους περιορᾶν τὴν ψυχὴν πλήρη παθῶν ἀγρίων οὖσαν.

**306**. Ἀγαθοκλῆς, Κερκυραίους πολιορκῶν, ἐπεὶ πέμποντες ἠρώτων τί ἀδικηθεὶς ταῦτα ποιεῖ, Οἱ πρόγονοι ὑμῶν, εἶπεν, Ὀδυσσέα ὑπεδέξαντο, ὃς τὸν Κύκλωπα πολίτην μου ὄντα ἐξετύφλωσεν.

**307**. Δημοσθένης ἔλεγεν, ὅτι, πολλάκις ἐπιὸν αὐτῷ εὔξασθαι τοὺς πονηροὺς ἀπολέσθαι, φοβεῖται, μὴ ἔρημον ἐκ τῆς εὐχῆς ποιήσῃ τὴν πόλιν.

**308**. Πονηροῦ τὸν τρόπον τινὸς κακῶς λέγοντος Πλάτωνα, Σωκράτης ὁ κυνικὸς Παῦσαι, ἔφη· οὔτε γὰρ κακῶς λέγων ἐκεῖνον πιστευθήσῃ, οὔτ' ἐκεῖνος σὲ ἐπαινῶν.

**309**. ‖ Σιμωνίδης ὁ μελοποιὸς τὸν εἰπόντα, ὅτι πολλοί αὐτὸν παρ' φ. 269
αὐτῷ κακῶς λέγουσιν, Οὐ παύσῃ ποτέ, ἔφη, σὺ τοῖς ὠσί με βλασφημῶν;

**310**. Θεόδωρος ὁ κυρηναϊκός, Λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος αὐτὸν ἀναιρήσειν, Ἐλελήθεις με, εἶπεν, οὐ βασιλέως, ἀλλὰ κωνείου δύναμιν ἔχων.

**311**. Διογένης ἔφασκε φωνῆς ἀκηκοέναι Κακίας, αὐτὴν αἰτιωμένης καὶ λεγούσης Οὔ τις ἐμοὶ τῶν κακῶν ἐπαίτιος, ἀλλ' ἐγὼ αὐτή.

**312**. Τῷ αὐτῷ Διογένει ἐπέθηκέ τις βάρος οὐ φορητόν. Ὡς δὲ

3. στίλπνων  6. ποῖ δὲ  33. αὐτῆ

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργαστήριο Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πιεζόμενος οὐ δυνατῶς εἶχε πορεύεσθαι, δείξας αὐτῷ κίονα, Βέλτιστε, φησί, τοῦτον ὤθει.

**313.** Διογένης πολυτελῆ τινος πόλιν εἶναι φαμένου τὰς Ἀθήνας, λαβὼν αὐτόν, ἤγαγεν εἰς τὸ μυροπώλιον, καὶ ἐπυνθάνετο πόσου τοῦ μύρου ὤνιος ἡ κοτύλη. Μνᾶς, ἔφη ὁ μυροπώλης. Καὶ ὁ Διογένης ἀνέκραγε· Πολυτελής γε ἡ πόλις. Ἀπῆγεν αὐτὸν πάλιν εἰς τὸ μαγειρεῖον, καὶ ἐπυνθάνετο πόσου τὸ ἀκροκώλιον. Τριῶν δραχμῶν, εἶπεν
φ. 269ε ὁ μάγειρος. Καὶ ὁ Διογένης ‖ ἔφη· Πολυτελής γε ἡ πόλις. Ἀπήγαγε πάλιν εἰς τὰ μαλακὰ ἔρια, καὶ ἤρετο πόσου τὸ πρόβατον. Μνᾶς, εἶπεν ὁ πιπράσκων. Καὶ ὁ Διογένης αὖθις Πολυτελής γε ἡ πόλις ἐβόησεν. Εἶτα Δεῦρό φησι τῷ τὴν Ἀθηνῶν πολυτέλειαν θαυμάζοντι ἐνταῦθα. Καὶ ἄγει αὐτὸν εἰς τοὺς θέρμους, καὶ Πόσου, φησίν, ἡ χοῖνιξ; Χαλκοῦ ἀκούει ὤνιος, καὶ ἀνέκραγεν εὐθύς· Εὐτελὴς ἡ πόλις. Πάλιν εἰς τὰς ἰσχάδας. Δύο χαλκῶν. Εὐτελὴς ἡ πόλις, εἶπε. Καὶ πρὸς τὸν θαυμάζοντα ἔφη· Ὁρᾷς, ὦ τάν· ἐφ' ἡμῖν ἐστι τὴν πόλιν εὐτελῆ καὶ πολυτελῆ εὑρίσκειν. Εἰ μὲν γὰρ βουλοίμεθα τοῖς πολυτελέσι χρῆσθαι, καὶ αὕτη ἡμῖν μετὰ πολυτελείας ἀπαντήσει, ἢν δ' εὐτελέσι, καὶ αὕτη πάντως εὐτελὴς ἔσται.

**314.** Σωκράτης Ξανθίππης τῆς γυναικὸς τὴν χαλεπότητα πράως ἔφερε, κἀκείνης βοώσης οὐκ ἐφρόντιζε. Κριτοβούλου δὲ εἰπόντος Πῶς
φ. 270α ἀνέχῃ, Σώκρατες, ταύτης συμβιούσης; Πῶς δὲ σύ, ἔφη, ‖ Κριτόβουλε, τῶν παρὰ σοὶ χηνῶν; Τί δέ μοι μέλει, φησίν, ἐκείνων; Κριτόβουλος. Οὐδ' ἐμοὶ ταύτης, ὁ Σωκράτης εἶπεν, ἀλλ' ἀκούω ὥσπερ χηνός.

**315.** Σωκράτους παρειληφότος Ἀλκιβιάδην ἐπ' ἄριστον, ὡς ἐκείνη παρελθοῦσα τὴν τράπεζαν ἀνέτρεψεν, οὐδὲν δεινοπαθήσας ἀνελέσθαι τὸν Ἀλκιβιάδην τὰ πεσόντα ἐκέλευσε καὶ ἐπιθέσθαι τῇ τραπέζῃ. Ὡς δ' ἐκεῖνος οὐ προςεῖχεν, ἀλλ' ἐγκαλυψάμενος ἐκάθητο, Προάγωμεν δή, φησιν, ἔξω· φαίνεται γὰρ ἡ Ξανθίππη ὀξυρεγμίᾳ σπαράσσειν ἡμᾶς.

**316.** Ὁ αὐτὸς μετ' ὀλίγας ἡμέρας ἀριστῶν παρ' Ἀλκιβιάδῃ, ὡς ἡ ὄρνις ἐπιπτᾶσα ἀνέτρεψε τὸν πίνακα, συγκαλυψάμενος ἐκάθητο, καὶ οὐκ ἠρίστα. Ὡς δ' ὁ Ἀλκιβιάδης ἐγέλα καὶ ἐπυνθάνετο, εἰ διὰ τοῦτο οὐκ ἀριστᾷ, ὅτι ὄρνις καθιπτᾶσα τὸν πίνακα κατέβαλεν, Ὅτι, φησὶ Σωκράτης, σὺ μὲν πρώην Ξανθίππης ἀνατρεψάσης οὐκ ἐβού-

11. δεῦρο φησὶ   29. ὀξυερεγμία   32-33. διατοῦτο

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

ἀριστᾶν, ἐμὲ δὲ οἴει ἀριστᾶν τῆς ὄρνιθος ἀνατρεψάσης. Ἢ διαφέρειν τι ἐκείνην ὄρνιθος κορυζώσης ἡγῇ; Ἀλλὰ, ‖ εἰ μὲν ὗς, φησιν, ἀνέτρεψεν, οὐκ ἂν ὠργίζου, εἰ δὲ γυνὴ ὑώδης ὠργίζου. φ. 270ᶜ

**317**. Ὁ αὐτὸς Σωκράτης, ἄριστον οὐ καταλαβών, ἤρετο τὴν Ξανθίππην, εἴ τι ἔχοι. Ἡ δέ φησι· Λάχανα, καὶ ταῦτα ὠμά, ἃ ἡ γείτων ἔπεμψέ μοι. Δεῖξόν μοι ταῦτα, φησὶν ὁ Σωκράτης· ἃ καταφαγὼν καὶ ὕδωρ ἐπιπιὼν, προήει θᾶττον ἔξω.

**318**. Αἴσωπος ἔλεγε· Τὸν πηλὸν ὁ Προμηθεύς, ἀφ' οὗ τὸν ἄνθρωπον διεπλάσατο, οὐκ ἐφύρασεν ὕδατι, ἀλλὰ δάκρυσιν.

**319**. Παρὰ Λακεδαιμονίοις παραγέγονέ τις κιθαρῳδὸς σφόδρα εὐδόκιμος. Οἱ δὲ αὐτὸν οὐκ ἐτίμησαν, ἀλλ' ἀφείλοντο τὴν κιθάραν, καὶ τὰς χορδὰς ἐξέτεμον, ἀπιέναι προσειπόντες ἐκ τῆς πόλεως ὡς ἂν μὴ διαφθαρῶσιν αὐτῶν μηδὲ θηλυνθῶσιν ὑπὸ τῆς ᾠδῆς αἱ ἀκοαί.

**320**. Τραγῳδὸς Ἠλιεῦσιν ἐπιδήμησεν, ὃν καὶ ἐπιδείξασθαι ἐκέλευσαν. Ὁ δὲ ἐὰν αὐτοὺς ἠξίου καὶ τὴν ἡσυχίαν ἄγειν. Ὅσον γὰρ ἄν, ἔφη, κρεῖττον ἀγωνίσωμαι, τοσοῦτον ὑμεῖς ἀτυχέστεροι φανήσεσθε.

**321** ‖ Ἀθηναῖοι, χαλεπήναντες Φιλίππῳ, τῆς αὐτοῦ εἰκόνος φ. 271ᵃ κατέχεαν ἀμίδας. Καὶ ἐκεῖνος ἀκούσας ἔφη· Ἀλλ' ἔγωγε τῆς αὐτῶν πόλεως κατασκεδάσω τέφραν καὶ κόνιν.

**322**. Ἐπαμινώνδας, φιλόπατρις ὢν καὶ μέγιστα τὴν πατρίδα ὠφελήσας, πρός τινα προδότην, λοιδορούμενον αὐτῷ καὶ μηδὲν κατ' αὐτοῦ ἀληθὲς λέγοντα, βοιωτίζων Ἀλλά τοι Δαμάτηρ, ἔφη, κεχολωμένα γένοιτο.

**323**. Ἀνάχαρσις τὰ γυμνάσια τῶν Ἑλλήνων ὁρῶν ἔλεγεν, ὡς ἔστιν ἐν ἑκάστῃ πόλει τῶν Ἑλλήνων ἀποδεδειγμένον χωρίον, ἐν ᾧ μαίνονται καθ' ἡμέραν, καὶ φάρμακον, ᾧ χριόμενοι τὴν μανίαν κινεῖν.

5. δὲ. φησί 6. δεῖξον 13. μὴδὲ τῆς τῆς 27. καθημέραν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006